II$^{1}$1242 / K cap. K 3, 8

## *II$^{2}$1791 / R cap. K 13, 4

Τῶν αὐτῶν·

Μὴ ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς.

## *II$^{2}$1792 / R cap. K 13, 5

Τοῦ Ἐκκλησιαστοῦ·

Ἐν εἰδήσει σου βασιλέα μὴ καταράσῃ,
καὶ ἐν ταμιείοις κοιτώνων σου μὴ καταράσῃ πλούσιον,
ὅτι πετεινὸν τοῦ οὐρανοῦ ἀποίσει φωνήν σου,
καὶ ὁ ἔχων πτέρυγας ἀναγγελεῖ λόγους σου.

II$^{1}$1243 / K cap. K 3, 9

## *II$^{2}$1793 / R cap. K 13, 6

Σοφίας Σολομῶντος·

Φυλάξασθε γογγυσμὸν ἀνωφελῆ,
καὶ ἀπὸ καταλαλιᾶς φείσασθε γλώττης,
ὅτι φθέγμα λαθραῖον, κενὸν οὐ πορεύεται,
στόμα δὲ καταψευδόμενον ἀναιρεῖ ψυχήν.

---

**3** ***II$^{2}$1790** Prov. 17, 4$^{1}$ (Wahl, *Proverbien-Text*, p. 85) **6** ***II$^{2}$1791** Prov. 20, 13$^{1}$ (Wahl, *Proverbien-Text*, p. 98–99) **9 – 12** ***II$^{2}$1792** Eccle. 10, 20$^{1-4}$ (Wahl, *Kohelet-Text*, p. 171–172) **15 – 18** ***II$^{2}$1793** Sap. 1, 11$^{1-4}$

---

**2 – 3** ***II$^{2}$1790** R cap. K 13, 3 (195r[6]6); *deest in* T$^{(lac.)}$ H$^{III}$ **5 – 6** ***II$^{2}$1791** R cap. K 13, 4 (195r[6]6–7); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 12** ***II$^{2}$1792** R cap. K 13, 5 (195r[7]7–9); *deest in* T$^{(lac.)}$ H$^{III}$ **14 – 18** ***II$^{2}$1793** R cap. K 13, 6 (195r[10]10–12); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**3** ὑπακούει] *scripsi (**II$^{2}$1862 / R cap. Λ 1, 3*)*, ὑπακούσει R

## *II$^{2}$1794 / R cap. K 13, 7

Σιράχ·

Ἀνὴρ ἁμαρτωλὸς ἐκκαύσει φίλους,
καὶ ἀναμέσον εἰρηνευόντων βάλλει διαβολήν.

## *II$^{2}$1795 / R cap. K 13, 8

**II$^{1}$1244 / K cap. K 3, 10**

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς·

Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί· ὁ καταλαλῶν ἀδελφοῦ καὶ κρίνων τὸν ἀδελφὸν αὐτοῦ, καταλαλεῖ νόμου, καὶ κρίνει νόμον· εἰ δὲ νόμον κρίνεις, οὐκ εἶ ποιητὴς νόμου, ἀλλὰ κριτής. Εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτής, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι.

## *II$^{2}$1796 / R cap. K 13, 9

**II$^{1}$suppl. 323 / V cap. K 2, 10**

Σιράχ·

Ὀφθαλμὸν καταλαλοῦντα πατρὸς καὶ ἀτιμάζοντα γῆρας μητρός,
ἐκκόψειαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων,
καὶ καταφάγοισαν αὐτὸν νεοσσοὶ ἀετῶν.

---

**3** ***II$^{2}$1794** Ἀνὴρ – φίλους] Sir. 28, 8$^{2}$ (Wahl, *Sirach-Text*, p. 122) **4** καὶ – διαβολήν] Ibid. 28, 9$^{2}$ (Wahl, p. 122) **7 – 10** ***II$^{2}$1795** Iac. 4, 11–12 **13 – 15** ***II$^{2}$1796** Sir., re vera Prov. 30, 17$^{1-3}$ (Wahl, *Proverbien-Text*, p. 119)

---

**2 – 4** ***II$^{2}$1794** R cap. K 13, 7 (195r[12]12–13); *deest in* T$^{(lac.)}$ H$^{III}$ **6 – 10** ***II$^{2}$1795** R cap. K 13, 8 (195r[13]13–16); *deest in* T$^{(lac.)}$ H$^{III}$ **12 – 15** ***II$^{2}$1796** R cap. K 13, 9 (195r[16]17–18); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**13** καταλαλοῦντα] καταγελῶντα *LXX* **14** φαράγγων] *scripsi (*II$^{1}$ *et LXX)*, φαρύγγων R

II$^1$1245 / K cap. K 3, 11

## *II$^2$1797 / R cap. K 13, 10

Τοῦ ἁγίου Βασιλείου·

Καταλαλιά ἐστὶ τὸ κατὰ παντὸς ἀδελφοῦ λέγειν τί, σκοπῷ τοῦ διαβάλλειν αὐτόν, εἰ καὶ ἀληθὲς ᾖ τὸ λεγόμενον.

## *II$^2$1798 / R cap. K 13, 11

Τοῦ Θεολόγου, ἐκ τοῦ εἰς Βασίλειον·

Πρὸς τοὺς κακούργους ὁ λόγος, οἳ τοῖς ἑαυτῶν κακοῖς βοηθοῦσιν, ἐξ ὧν ἄλλους ἐπηρεάζουσιν.

II$^1$1249 / K cap. K 3, 15

## *II$^2$1799 / R cap. K 13, 12

Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου·

Ἐάν τις σε εἴπῃ κακῶς, εἰ μὲν ἀληθὲς λέγει, διόρθωσαι· εἰ δὲ ψευδῆ, καταγέλασον. <***> εἰ δὲ μὴ σύνοιδας, καταφρόνησον.

---

**3 – 4** ***II$^2$1797** Basilius Caesariensis, *Epistulae*, XXII, 1, 26–28 (ed. Courtonne, I, p. 53); cf. etiam Id., *Asceticon magnum sive Quaestiones (regulae brevius tractatae)*, XXV (PG 31, 1100, 39–41) **7 – 8** ***II$^2$1798** Gregorius Nazianzenus, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 68, 4–6 (ed. Bernardi, p. 274) **11 – 12** ***II$^2$1799** Iohannes Chrysostomus, *De Davide et Saule*, III *(Contra theatra)*, 4, 19–22 (ed. Barone, p. 59)

---

**2 – 4** ***II$^2$1797** R cap. K 13, 10 (195r[18]19–20); *deest in* T$^{(lac.)}$ H$^{III}$ **6 – 8** ***II$^2$1798** R cap. K 13, 11 (195r[20]21–22); *deest in* T$^{(lac.)}$ H$^{III}$ **10 – 12** ***II$^2$1799** R cap. K 13, 12 (195r[22]22–23); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**4** εἰ καὶ] κἂν *ed.* **12** *ante* εἰ *quaedam excidisse videntur (cf.* II$^1$1249 / K cap. 3, 15*)* σύνοιδας] *scripsi (*II$^1$, *cf. autem app. crit.)*, συνοῖδας R

## *II²1800 / R cap. K 13, 13

**II¹suppl. 324 / V cap. K 2, 15**

Τοῦ αὐτοῦ·

Ὁ κακῶς ἕτερον διατιθέναι βουλόμενος, πρότερον ἑαυτὸν οὕτω διατίθησιν.

---

**3 – 4** ***II²1800*** IOHANNES CHRYSOSTOMUS, locus non repertus (deest apud Haidacher); Didymo adscriptus in II¹suppl. 324 / V cap. K 2, 15

---

**2 – 4** ***II²1800*** R cap. K 13, 13 (195r[24]24); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**3** ἑαυτὸν οὕτω] *scripsi (*II¹suppl. 324 / V cap. K 2, 15*)*, ἑαυτῷ οὗτος R

II[1] / K cap. K 8

## Τίτλος ιδʹ Περὶ κωφῶν.

### *II²1801 / R cap. K 14, 1

Ἀπὸ τοῦ Λευϊτικοῦ·

Οὐ κακῶς ἐρεῖς κωφῷ.

4 ***II²1801** Lev. 19, 14

**1 Titlos** R (195r25); *deest in* T(lac.) HIII AIII **3 – 4 *II²1801** R cap. K 14, 1 (195r[25] 25); *deest in* T(lac.) HIII

**1** Τίτλος] *om.* Rpin

**4** κῶφον *LXX*

## Τίτλος ιζʹ Περὶ κακούργων, ὅτι χρὴ τάχιστα κατὰ τὸν νόμον καταστέλλειν τούτους πρὸς εἰρήνην καὶ εὐνομίαν τοῦ λαοῦ καὶ ἀναχαιτισμὸν τοῦ κακοῦ.

### *II$^2$1802 / R cap. K 17, 1

Δευτερονομίου·

Ἐξάρατε τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν, καὶ πᾶς ὁ λαὸς ἀκούσας φοβηθήσεται.

### *II$^2$1803 / R cap. K 17, 2

Τοῦ αὐτοῦ·

Ἵνα μὴ ἀπολέσῃ ὁ ἁμαρτωλὸς τὸν ἀναμάρτητον, οὐ μὴ θελήσῃ ὁ θεὸς εὐϊλατεῦσαι αὐτῷ.

### *II$^2$1804 / R cap. K 17, 3

Ψαλμοῦ νζʹ·

Εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν
ἕως
ἐν τῇ γῇ.

---

**6 – 7** ***II$^2$1802** Deut. 17, 12–13 (Wahl, *Deuteronomium-Text*, p. 130–131) **10 – 11** ***II$^2$1803** Deut. 29, 19–20 (Wahl, *Deuteronomium-Text*, p. 148) **14 – 16** ***II$^2$1804** Ps. 57, 11$^1$–12$^2$

---

**1 – 3** **Titlos** R (196v35–36) A$^{III\ pin}$; *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III\ txt}$ **5 – 7** ***II$^2$1802** R cap. K 17, 1 (196v[36]37); *deest in* T$^{(lac.)}$ H$^{III}$ **9 – 11** ***II$^2$1803** R cap. K 17, 2 (196v[38]38–39); *deest in* T$^{(lac.)}$ H$^{III}$ **13 – 16** ***II$^2$1804** R cap. K 17, 3 (196v[39]39–40); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* A$^{III\ pin}$ R$^{pin}$ ιζʹ] ιβʹ A$^{III\ pin}$ τάχιστα] τὰ A$^{III\ pin}$

---

***II$^2$1804** νζʹ] *scripsi*, μζ *(sic)* R

## *II$^2$1805 / R cap. K 17, 4

Ψαλμοῦ ρʹ·

Εἰς τὰς πρωΐας ἀπέκτενον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς
ἕως
ἀνομίαν.

## *II$^2$1806 / R cap. K 17, 5

Παροιμιῶν·

Λικμήτωρ ἀσεβῶν βασιλεὺς φρόνιμος,
καὶ ἐπιβαλεῖ αὐτοῖς τρόμον.

## *II$^2$1807 / R cap. K 17, 6

Τῶν αὐτῶν·

Πολλῶν ὄντων ἀσεβῶν, πολλαὶ γίνονται ἁμαρτίαι.

## *II$^2$1808 / R cap. K 17, 7

Τῶν αὐτῶν·

Ἑτοιμάζονται ἀκολάστοις μάστιγες,
καὶ τιμωρίαι ὁμοίως ἄφροσιν.

---

**3 – 5** ***II$^2$1805** Ps. 100, $8^{1-2}$ **8 – 9** ***II$^2$1806** Prov. 20, $26^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 99) **12** ***II$^2$1807** Prov. 29, $16^{1}$ (Wahl, *Proverbien-Text*, p. 99) **15 – 16** ***II$^2$1808** Prov. 19, $29^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 96)

---

**2 – 5** ***II$^2$1805** R cap. K 17, 4 (196v[40]40–41); *deest in* T$^{(lac.)}$ H$^{III}$ **7 – 9** ***II$^2$1806** R cap. K 17, 5 (196v[41]41–197r1); *deest in* T$^{(lac.)}$ H$^{III}$ **11 – 12** ***II$^2$1807** R cap. K 17, 6 (197r[1]1–2); *deest in* T$^{(lac.)}$ H$^{III}$ **14 – 16** ***II$^2$1808** R cap. K 17, 7 (197r[2]2–3); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**9** τρόμον] τροχὸν *LXX*

## *II$^{2}$1809 / R cap. K 17, 8

Τῶν αὐτῶν·

Ζημιουμένου ἀκολάστου, πανουργότερος γίνεται ὁ κακός.

## *II$^{2}$1810 / R cap. K 17, 9

Τῶν αὐτῶν·

Πρὸς τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ἀποστελεῖ ὁ θεός.

## *II$^{2}$1811 / R cap. K 17, 10

Τῶν αὐτῶν·

Ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς, ἐξαίρων μάχαιραν αὐτοῦ ἀφ᾽ αἵματος.

## *II$^{2}$1812 / R cap. K 17, 11

Σιράχ·

Ἀπὸ μικροῦ σπινθῆρος ἐκκαυθήσεται ἀνθρακιά.

---

**3** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 61.3./68.3. (ed. Ihm, p. 918)

---

**3** ***II$^{2}$1809** Prov. 21, 11$^{1}$ (Wahl, *Proverbien-Text*, p. 101) **6** ***II$^{2}$1810** Prov. 21, 8$^{1}$ (Wahl, *Proverbien-Text*, p. 100–101) **9 – 10** ***II$^{2}$1811** Prov., re vera Ier. 31, 10 (Wahl, *Prophetenzitate*, p. 558) **13** ***II$^{2}$1812** Sir. 11, 32$^{1}$ (Wahl, *Sirach-Text*, p. 79)

---

**2 – 3** ***II$^{2}$1809** R cap. K 17, 8 (197r[3]3–4); *deest in* T$^{(lac.)}$ H$^{III}$ **5 – 6** ***II$^{2}$1810** R cap. K 17, 9 (197r[4]4); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 10** ***II$^{2}$1811** R cap. K 17, 10 (197r[4]5–6); *deest in* T$^{(lac.)}$ H$^{III}$ **12 – 13** ***II$^{2}$1812** R cap. K 17, 11 (197r[6]6); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**3** κακός] ἄκακος *LXX*

## *II²1813 / R cap. K 17, 12

Τοῦ Θεολόγου·

Μηδεὶς ἔστω τοῦ νόμου νομιμώτερος, μὴ δὲ τοῦ κανόνος εὐθύτερος, μὴ δὲ τῆς ἐντολῆς ὑψηλότερος.

## *II²1814 / R cap. K 17, 13

Τοῦ αὐτοῦ, περὶ τῆς χαλάζης·

*Ὀλολύζειν πίτυν* ὁ προφήτης φησί, *ὅτι πέπτωκε κέδρος*, τουτέστι νουθετεῖσθαι χρὴ τῇ τῶν πλησίον πληγῇ, καὶ διὰ τῶν ἀλλοτρίων κακῶν τὰ οἰκεῖα εὖ τίθεσθαι χρή.

## *II²1815 / R cap. K 17, 14

Φίλωνος·

Τὰ τῶν προτέρων κολαστήρια, τῶν δευτέρων εἰσίν, εἰ σωφρονοῖεν, φυλακτήρια καὶ σωτήρια.

---

7 Zach. 11, 2

---

**3 – 4** ***II²1813** Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, 7, 1–3 (quibusdam omissis; ed. Moreschini, p. 98) **7 – 9** ***II²1814** Gregorius Nazianzenus, *De grandine, in patrem tacentem (Orat. 16)*, 19 (PG 35, 961, 23–25) **12 – 13** ***II²1815** Philo Iudaeus, locus non repertus; Mangey 665.5; Harris 101.8; Royse 177.80

---

**2 – 4** ***II²1813** R cap. K 17, 12 (197r[7]7–8); *deest in* T$^{(lac.)}$ H$^{III}$ **6 – 9** ***II²1814** R cap. K 17, 13 (197r[8]8–10); *deest in* T$^{(lac.)}$ H$^{III}$ **11 – 13** ***II²1815** R cap. K 17, 14 (197r[11]11–12); *deest in* T$^{(lac.)}$ H$^{III}$

**Τίτλος ιη′ Περὶ τῶν καταφρονητικῶς καὶ ἀντιρρητικῶς περὶ τὴν σωτήριον τοῦ κυρίου εἰς ἡμᾶς τοὺς ἁμαρτωλοὺς διακειμένων μακροθυμίαν.**

## *II²1816 / R cap. K 18, 1

Ἱερεμίου·

Ἀθετῶν ἠθέτησεν εἰς ἐμὲ ὁ οἶκος Ἰσραὴλ καὶ ὁ οἶκος τοῦ Ἰούδα. Ἐψεύσαντο ἐναντίον τοῦ θεοῦ, καὶ εἶπον· Οὐκ ἔστι ταῦτα· οὐχ' ἥξει ἐφ' ἡμᾶς κακά· μάχαιραν καὶ λιμὸν οὐκ ὀψόμεθα· οἱ προφῆται ἡμῶν ἦσαν εἰς ἄνεμον, καὶ ὁ λόγος κυρίου οὐχ' ὑπῆρχεν ἐν αὐτοῖς. Διατοῦτο τάδε λέγει κύριος παντοκράτωρ· Ἀνθ' ὧν ἐλαλήσατε τὸ ῥῆμα τοῦτο, ἰδοὺ ἔδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου· πῦρ καταφάγεται αὐτούς.

## *II²1817 / R cap. K 18, 2

Ἀμώς·

Ἐν ῥομφαίᾳ τελευτήσουσι πάντες ἁμαρτωλοὶ λαοῦ μου, οἱ λέγοντες· Οὐ μὴ ἐγγίσῃ, οὐδ' οὐ μὴ γένηται ἐφ' ἡμᾶς κακά.

**6 – 12** ***II²1816** Ier. 5, 11–14 (Wahl, *Prophetenzitate*, p. 494–495) **15 – 16** ***II²1817** Am. 9, 10 (Wahl, *Prophetenzitate*, p. 195)

**1 – 3 Titlos** R (197r13–14) A^III pin^; *deest in* T^(lac.)^ H^III^A^III txt^ **5 – 12** ***II²1816** R cap. K 18, 1 (197r[14]15–19); *deest in* T^(lac.)^ H^III^ **14 – 16** ***II²1817** R cap. K 18, 2 (197r [19]20–21); *deest in* T^(lac.)^ H^III^

**1** Τίτλος] *om.* A^III pin^ R^pin^ ιη′] ιγ′ A^III pin^ καὶ ἀντιρρητικῶς] *om.* R **2 – 3** μακροθυμίαν διακειμένων R^txt^

**7 – 8** οὐκ' ἤξει R^a. c. ut videtur^ **11 – 12** στόμα σου] *scripsi (LXX)*, στόμα μου R *(forsan quaedam exciderunt [cf. LXX])* **12** καταφάγετε R

## *II$^2$1818 / R cap. K 18, 3

Σοφίας Σολομῶντος·

Ἐλεεῖς, κύριε, πάντας, ὅτι πάντα δύνασαι,
καὶ παρορᾷς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν.

## *II$^2$1819 / R cap. K 18, 4

Τοῦ αὐτοῦ·

Σὺ ὁ θεὸς ἡμῶν χρηστὸς καὶ ἐπιεικής,
μακρόθυμος καὶ πολυέλεος, καὶ ἐν ἐλέει διοικῶν τὰ πάντα.

## *II$^2$1820 / R cap. K 18, 5

Πρὸς Ἑβραίους·

Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος.

## *II$^2$1821 / R cap. K 18, 6

Τοῦ Θεολόγου·

Δεινὸν ἐπιείκειαν θεοῦ δαπανῆσαι τῷ συνεχεῖ τῆς συγγνώμης.

---

**3 – 4** ***II$^2$1818** Sap. 11, 23$^{1-2}$ **7 – 8** ***II$^2$1819** Sap. 15, 1$^{1-2}$ **11** ***II$^2$1820** Hebr. 10, 31 **14** ***II$^2$1821** GREGORIUS NAZIANZENUS, *Ad praefectum et cives Nazianzenos (Orat. 17)*, 6 (PG 35, 973, 2–3)

---

**2 – 4** ***II$^2$1818** R cap. K 18, 3 (197r[21]21–22); *deest in* T$^{(lac.)}$ H$^{III}$ **6 – 8** ***II$^2$1819** R cap. K 18, 4 (197r[22]22–24); *deest in* T$^{(lac.)}$ H$^{III}$ **10 – 11** ***II$^2$1820** R cap. K 18, 5 (197r[24]24); *deest in* T$^{(lac.)}$ H$^{III}$ **13 – 14** ***II$^2$1821** R cap. K 18, 6 (197r[24]25); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**8** καὶ πολυέλεος] *desunt in LXX*

## *II²1822 / R cap. K 18, 7

Τοῦ Χρυσοστόμου·

Μὴ λέγε, ἄνθρωπε· Ἥμαρτον· καὶ τί ἐγένετο; Μὴ *καταφρόνει τῆς χρηστότητος καὶ ἀνοχῆς καὶ μακροθυμίας τοῦ θεοῦ*. Μὴ πλεονάσῃς κατὰ σοῦ ὡς Φαραὼ τὰ κολαστήρια· ὡς γὰρ πολὺς ὁ ἔλεος τοῦ κυρίου, οὕτως καὶ ὁ ἔλεγχος αὐτοῦ πολύς, κατὰ τῶν καταφρονούντων τῆς ἀνεξικακίας αὐτοῦ.

---

**3 – 4** Rom. 2, 4 **4 – 5** Μὴ – κολαστήρια] cf. Ex. 7, 14 sqq.

---

**3 – 7** ***II²1822** IOHANNES CHRYSOSTOMUS, locus non repertus (deest apud Haidacher)

---

**2 – 7** ***II²1822** R cap. K 18, 7 (197r[25]25–29); *deest in* T$^{(lac.)}$ H$^{III}$

II$^1$ / K cap. K 2

## Τίτλος ιθʹ Περὶ κρειττόνων, ὅτι οὐ δεῖ πρὸς κρείττονας φιλονεικεῖν, ἀλλὰ παραχωρεῖν.

### *II$^2$1823 / R cap. K 19, 1

Παροιμιῶν·

Μὴ ἀλαζονεύου ἐνώπιον βασιλέως,
μὴ δὲ ἐν τόποις δυναστῶν ὑφίστασο·
κρεῖσσον γὰρ ῥηθῆναι σοι· Ἀνάβηθι πρός με,
ἢ ταπεινωθῆναι ἐν προσώπῳ δυναστῶν.

### *II$^2$1824 / R cap. K 19, 2

Σιράχ·

Μὴ δικάζου μετὰ κριτοῦ·
κατὰ γὰρ τὴν δόξαν αὐτοῦ κρινοῦσιν αὐτόν.

II$^1$1223 / K cap. K 2, 3

### *II$^2$1825 / R cap. K 19, 3

Τοῦ αὐτοῦ·

Μὴ ἔριζε μετὰ πλουσίου,
μήποτε ἀντιστήσῃ σου τὴν ὁλκήν.

---

**5 – 8** ***II$^2$1823** Prov. 25, 6$^1$–7$^2$ (Wahl, *Proverbien-Text*, p. 123) **11 – 12** ***II$^2$1824** Sir. 8, 14$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 69) **15 – 16** ***II$^2$1825** Sir. 8, 2$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 67)

---

**1 – 2** **Titlos** R (197r29–30) A$^{III\ pin}$; *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III\ txt}$ **4 – 8** ***II$^2$1823** R cap. K 19, 1 (197r[30]31–33); *deest in* T$^{(lac.)}$ H$^{III}$ **10 – 12** ***II$^2$1824** R cap. K 19, 2 (197r[33]33–34); *deest in* T$^{(lac.)}$ H$^{III}$ **14 – 16** ***II$^2$1825** R cap. K 19, 3 (197r[34]34); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* A$^{III\ pin}$ R$^{pin}$ ιθʹ] *propt. mg. resect. non liquet in* A$^{III\ pin}$ *(*ιδʹ *secund. ser.)* **2** ἀλλὰ παραχωρεῖν] *om.* R

---

**16** ὁλκήν] *sic spir.* R

## *II$^2$1826 / R cap. K 19, 4

**II$^1$1223 / K cap. K 2, 3**

Τοῦ αὐτοῦ·

Μὴ διαμάχου μετὰ ἀνθρώπου δυνάστου,
μήποτε ἐμπέσῃς εἰς τὰς χεῖρας αὐτοῦ.

## *II$^2$1827 / R cap. K 19, 5

**II$^1$1224 / K cap. K 2, 4**

Τοῦ αὐτοῦ·

Ἰσχυροτέρῳ σου μὴ κοινώνει.
Τί κοινωνήσει χύτρα πρὸς λέβητα;
Αὐτὴ προσκρούσει καὶ αὐτὴ συντριβήσεται.

## *II$^2$1828 / R cap. K 19, 6

**II$^1$1225 / K cap. K 2, 5**

Τοῦ αὐτοῦ·

Μεγιστάνῳ κλῖνον τὴν κεφαλήν σου.

## *II$^2$1829 / R cap. K 19, 7

**II$^1$1228 / K cap. K 2, 8**

<***>

Καὶ γὰρ σκληρόν σοι πρὸς κέντρα λακτίζειν.

---

**7 – 9** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 4.5./5. (ed. Ihm, p. 81)

---

**3 – 4** ***II$^2$1826** Sir. 8, 1$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 67) **7 – 9** ***II$^2$1827** Sir. 13, 2$^{2-4}$ (Wahl, *Sirach-Text*, p. 81–82) **12** ***II$^2$1828** Sir. 4, 7$^2$ (Wahl, *Sirach-Text*, p. 53) **15** ***II$^2$1829** Act. 26, 14

---

**2 – 4** ***II$^2$1826** R cap. K 19, 4 (197r[35]35–36); *deest in* T$^{(lac.)}$ H$^{III}$ **6 – 9** ***II$^2$1827** R cap. K 19, 5 (197r[36]36–37); *deest in* T$^{(lac.)}$ H$^{III}$ **11 – 12** ***II$^2$1828** R cap. K 19, 6 (197r[37]37–38); *deest in* T$^{(lac.)}$ H$^{III}$ **14 – 15** ***II$^2$1829** R cap. K 19, 7 (197r38); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$1829** *s. d.* R

### *II$^{2}$1830 / R cap. K 19, 8

Τοῦ αὐτοῦ·

Μακρὰν ἄπεχε ἀπὸ ἀνθρώπου, ὃς ἔχει ἐξουσίαν τοῦ φονεύειν,
καὶ οὐ μὴ ὑποπτεύσῃς φόβον θανάτου·
κἂν προσέλθῃς, μὴ πλημμελήσῃς,
ἵνα μὴ ἀφέληται ζωήν σου.
Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις,
καὶ ἐπὶ ἐπάλξεων πόλεως περιπατεῖς.

II$^{1}$1229 / K cap. K 2, 9

### *II$^{2}$1831 / R cap. K 19, 9

Τοῦ ἁγίου Βασιλείου·

Καλὸν ἀεὶ τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος ἄγεσθαι.

II$^{1}$1231 / K cap. K 2, 11

### *II$^{2}$1832 / R cap. K 19, 10

Φίλωνος·

Τὸ ὑποτάσσεσθαι τοῖς κρείττοσιν, ὠφελιμώτατον.

---

**11** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 9.9./9. (ed. Ihm, p. 211)

---

**3 – 8** ***II$^{2}$1830** Sir. 9, 13$^{1-6}$ (Wahl, *Sirach-Text*, p. 71) **11** ***II$^{2}$1831** Basilius Caesariensis, locus non repertus (*Homiliis in Hexaemeron* attributus in II$^{1}$1229 / K cap. K 2, 9); exstat apud Eund., *Sermones de moribus a Symeone Metaphrasta collecti*, XV *(De imperio ac potestate)*, 1 (PG 32, 1305, 34–35) **14** ***II$^{2}$1832** Philo Iudaeus, *Quaestiones in Genesim*, III. 30a (ed. Petit, p. 140)

---

**2 – 8** ***II$^{2}$1830** R cap. K 19, 8 (197r[38]39–197v1); *deest in* T$^{(lac.)}$ H$^{III}$ **10 – 11** ***II$^{2}$1831** R cap. K 19, 9 (197v[1]1); *deest in* T$^{(lac.)}$ H$^{III}$ **13 – 14** ***II$^{2}$1832** R cap. K 19, 10 (197v[2]2); *deest in* T$^{(lac.)}$ H$^{III}$

## Τίτλος κʹ Περὶ τοῦ μὴ κρίνειν καὶ κατακρίνειν καὶ καταγινώσκειν ἀλλήλων καὶ ψόγους περιτιθέναι.

### *II$^{2}$1833 / R cap. K 20, 1

Παροιμιῶν·

Ὃς δίκαιον κρίνει τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον,
ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ κυρίῳ.

### *II$^{2}$1834 / R cap. K 20, 2

Σιράχ·

Πρὶν ἐξετάσῃς, μὴ μέμψῃ·
νόησον πρῶτον, καὶ τότε ἐπιτίμα.

### *II$^{2}$1835 / R cap. K 20, 3

Τοῦ αὐτοῦ·

Ἐν ἀγαθοῖς μὴ δῷς μῶμον·
γίνωσκε ὅτι πάντες ἐσμὲν ἐν ἐπιτιμίοις.

---

**9 – 10** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 10.5./5. (ed. Ihm, p. 242)

---

**5 – 6** ***II$^{2}$1833** Prov. 17, 15$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 87) **9 – 10** ***II$^{2}$1834** Sir. 11, 7$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 76) **13** ***II$^{2}$1835** Ἐν – μῶμον] Sir. 18, 15$^{1}$ (Wahl, *Sirach-Text*, p. 95) **14** γίνωσκε – ἐπιτιμίοις] Ibid. 8, 5$^{2}$ (Wahl, p. 67–68)

---

**1 – 2 Titlos** R (197v3–4) A$^{III\,pin}$; *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III\,txt}$ **4 – 6** ***II$^{2}$1833** R cap. K 20, 1 (197v[4]5–6); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 10** ***II$^{2}$1834** R cap. K 20, 2 (197v[6]6–7); *deest in* T$^{(lac.)}$ H$^{III}$ **12 – 14** ***II$^{2}$1835** R cap. K 20, 3 (197v[7]7–8); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* A$^{III\,pin}$ R$^{pin}$ κʹ] *propt. mg. resect. non liquet in* A$^{III\,pin}$ *(*ιεʹ *secund. ser.)* **2** περιτιθέναι] περιθεῖναι A$^{III\,pin}$

## *II²1836 / R cap. K 20, 4

Ματθαίου·

Εἶπεν ὁ κύριος· Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε, καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; Ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου· Ἄφες ἐκβάλω τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου, καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου; Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου ἐκβάλαι.

## *II²1837 / R cap. K 20, 5

Καὶ αὖθις·

Σὺ τίς εἶ, ὁ κρίνων ἀλλότριον οἰκέτην; Ἐν τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει· σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ θεὸς στῆσαι αὐτόν.

## *II²1838 / R cap. K 20, 6

Πρὸς Ῥωμαίους·

Σὺ τί κρίνεις τὸν ἀδελφόν σου; Καὶ σύ, τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; Πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. Ἄρ’ οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ θεῷ· μηκέτι οὖν ἀλλήλους κρίνωμεν.

---

**13 – 14** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 49.2./56.2. (ed. Ihm, p. 810)

---

**3** ***II²1836** Εἶπεν – κύριος] cf. Matth. 5, 2 **3 – 10** Μὴ – ἐκβάλαι] Ibid. 7, 1–5 **13 – 14** ***II²1837** Matth., re vera Rom. 14, 4 **17 – 18** ***II²1838** Σὺ – Χριστοῦ] Rom. 14, 10 **19 – 20** Ἄρ’ – κρίνωμεν] Ibid. 14, 12–13

---

**2 – 10** ***II²1836** R cap. K 20, 4 (197v[8]8–15); *deest in* T$^{(lac.)}$ H$^{III}$ **12 – 14** ***II²1837** R cap. K 20, 5 (197v[15]15–16); *deest in* T$^{(lac.)}$ H$^{III}$ **16 – 20** ***II²1838** R cap. K 20, 6 (197v[16]17–19); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

7 ἐκβάλω] *scripsi (NT)*, ἐκβάλλω R

## *II$^{2}$1839 / R cap. K 20, 7

Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου·

Ἆρ’ οὖν ἡμεῖς αὐτοὶ πρὸς τὸ πάντη ἅγιον ἀποτετελέσμεθα, καὶ οὐ δεόμεθα τῆς θείας ἐφ’ ἑαυτοῖς φιλανθρωπίας; Ἢ τὴν διπλῆν ἁμαρτίαν, ὡς τὰ λόγια φησί, κατὰ τοὺς ἀσεβεῖς ἁμαρτάνομεν, οὐκ εἰδότες ἐν τίνι προσκόπτομεν, ἀλλὰ καὶ δικαιοῦντες ἑαυτοὺς καὶ οἰόμενοι μὴ δεῖσθαι τοῦ ἐλεοῦντος καὶ σώζοντος;

## *II$^{2}$1840 / R cap. K 20, 8

<***> ἐκ τοῦ εἰς τοὺς ἄρχοντας καὶ τοὺς πολιτευομένους·

Ἕκαστος ἡμῶν *ἐστὶν ἐν ἐπιτιμίοις*, καὶ ὁ χοῦς πολλὰ φέρει τὰ ὀφλήματα. Συγχωρήσωμεν οὖν, ἵνα συγχωρηθῶμεν· ἀφῶμεν, ἵνα ἀφεθῇ ἡμῖν.

## *II$^{2}$1841 / R cap. K 20, 9

Τοῦ αὐτοῦ, ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ·

Τηροῦμεν τὰς ἀλλήλων ἁμαρτίας, οὐχ’ ἵνα πενθήσωμεν, ἀλλ’ ἵνα ὀνειδίσωμεν, οὐδ’ ἵνα θεραπεύσωμεν, ἀλλ’ ἵνα προσπλήξωμεν, καὶ

---

**4 – 5** Ἢ – ἁμαρτάνομεν] cf. Ier. 2, 13 **10** Sir. 8, 5$^{2}$ **15 – 822, 2** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 21.6./7. (ed. Ihm, p. 504)

---

**3 – 7** ***II$^{2}$1839** Ἆρ’ – οἰόμενοι] Ps.-Dionysius Areopagita, *Epistulae*, 8, 4 (ed. Ritter, p. 184, 9–12) **7** μὴ – σώζοντος] Ibid. (p. 185, 4) **10 – 12** ***II$^{2}$1840** Gregorius Nazianzenus, *Ad praefectum et cives Nazianzenos (Orat. 17)*, 11 (PG 35, 977, 29–31) **15 – 822, 2** ***II$^{2}$1841** Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 80, 1–4 (ed. Bernardi, p. 194)

---

**2 – 7** ***II$^{2}$1839** R cap. K 20, 7 (197v[19]20–24); *deest in* T$^{(lac.)}$ H$^{III}$ **9 – 12** ***II$^{2}$1840** R cap. K 20, 8 (197v[24]24–26); *deest in* T$^{(lac.)}$ H$^{III}$ **14 – 822, 2** ***II$^{2}$1841** R cap. K 20, 9 (197v[26]26–29); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$1840** *nomen auctoris excidisse videtur*

ἀπολογίαν ἔχωμεν τῶν ἡμετέρων κακῶν τὰ τῶν πλησίον τραύματα.

### *II$^{2}$1842 / R cap. K 20, 10

Τοῦ αὐτοῦ·

Σεαυτοῦ κατάγνωθι καὶ τῆς ἀσθενείας τῆς σῆς. Τί γὰρ εἰ λημῶν ἢ ἄλλό τι πάσχων τὰς ὄψεις, ἀμυδρὸν βλέπεις τὸν ἥλιον; Τί δέ, εἰ στρέφεσθαί σοι τὸ πᾶν δοκεῖ, ναυτιῶντι τυχὸν ἢ μεθύοντι, καὶ τὴν σὴν ἄγνοιαν ἑτέρων ὑπολαμβάνεις; Πολλὰ δεῖ στραφῆναι καὶ παθεῖν πρὶν ἄλλου καταγνῶναι δυσσέβειαν.

### *II$^{2}$1843 / R cap. K 20, 11

Τοῦ αὐτοῦ·

Ὁ κακὸς τάχιστα ἂν καταγνοίη καὶ τοῦ ἀγαθοῦ, ὁ δὲ ἀγαθὸς οὐδὲ τοῦ κακοῦ ῥαδίως· τὸ γὰρ εἰς κακίαν οὐχ᾽ ἕτοιμον, οὐδὲ εἰς ὑπόνοιαν εὐχερές.

---

**5 – 9** ***II$^{2}$1842** GREGORIUS NAZIANZENUS, *De moderatione in disputando (Orat. 32)*, 29, 16–20 (ed. Moreschini, p. 148) **12 – 14** ***II$^{2}$1843** GREGORIUS NAZIANZENUS, *In laudem Athanasii (Orat. 21)*, 15, 12–15 (ed. Mossay/Lafontaine, p. 142)

---

**4 – 9** ***II$^{2}$1842** R cap. K 20, 10 (197v[29]29–33); *deest in* T$^{(lac.)}$ H$^{III}$ **11 – 14** ***II$^{2}$1843** R cap. K 20, 11 (197v[33]34–35); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** ἔχωμεν] *scripsi (ed.)*, ἔχομεν R **5** εἰ] *scripsi (ed.)*, εἶ R

## Τίτλος κα′ Περὶ κλεπτῶν καὶ τῶν συγκοινωνούντων αὐτοῖς.

II$^1$ / V cap. K 5 (K cap. K 7)

### *II$^2$1844 / R cap. K 21, 1

II$^1$1319 / V cap. K 5, 1 (K cap. K 7)

Ἐξόδου·

Ἐάν τις κλέψῃ μόσχον ἢ πρόβατον, καὶ σφάξῃ αὐτά, πέντε μόσχους ἀποτίσει ἀντ’ αὐτοῦ· ἐὰν δὲ καταληφθῇ, διπλᾶ ἀποτίσει.

### *II$^2$1845 / R cap. K 21, 2

II$^1$1322 / V cap. K 5, 4 (K cap. K 7)

Ἰώβ·

<Ἐπ>ανέστησάν μοι κλέπται,
ὧν οἱ οἶκοι αὐτῶν ἦσαν τρῶγλαι πετρῶν.

### *II$^2$1846 / R cap. K 21, 3

II$^1$1324 / V cap. K 5, 6 (K cap. K 7)

Ζαχαρίου·

Ἐπέστρεψα καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον· καὶ ἰδοὺ δρέπανον πετόμενον, μῆκος πήχεων εἴκοσι καὶ πλάτος πήχεων δέκα. Καὶ εἶπεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· Αὕτη ἡ δρεπάνη ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον πάσης τῆς γῆς, διότι πᾶς κλέπτης καὶ ἐπίορκος ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται. Καὶ ἐξοίσω αὐτήν, λέγει κύριος παντοκράτωρ, καὶ εἰσελεύσεται εἰς τὸν οἶκον τοῦ κλέπτου καὶ εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τὸ ὄνομά μου ἐπὶ ψευδῆ,

---

**4 – 5 *II$^2$1844** Ἐὰν – αὐτοῦ] Ex. 22, 1 **5** ἐὰν – ἀποτίσει] Ibid. 22, 4 **8 – 9 *II$^2$1845** Iob 30, 5–6 **12 – 824, 2 *II$^2$1846** Zach. 5, 1–4 (Wahl, *Prophetenzitate*, p. 254–257)

---

**1 Titlos** R (197v36); *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III}$ **3 – 5 *II$^2$1844** R cap. K 21, 1 (197v[36]37–38); *deest in* T$^{(lac.)}$ H$^{III}$ **7 – 9 *II$^2$1845** R cap. K 21, 2 (197v[38]38–39); *deest in* T$^{(lac.)}$ H$^{III}$ **11 – 824, 2 *II$^2$1846** R cap. K 21, 3 (197v[39]39–198r5); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* R$^{pin}$

---

**5** καταλειφθῇ R **8** Ἐπανέστησάν μοι] *scripsi (*II$^1$ *et LXX)*, ἀνέστησάν μοι R **12** ἧρα R **13** πήχεων$^1$] *scripsi*, πηχέων R πήχεων$^2$] *scripsi*, πηχέων R

καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, καὶ συντελέσει αὐτὸν καὶ τοὺς λίθους αὐτοῦ.

**II$^1$1325 / V cap. K 5, 7 (K cap. K 7)**

## *II$^2$1847 / R cap. K 21, 4

Σιράχ·

Τίς πιστεύσει εὐζώνῳ ληστῇ,
ἀφαλλομένῳ ἐκ πόλεως εἰς πόλιν;

**II$^1$1326 / V cap. K 5, 8 (K cap. K 7)**

## *II$^2$1848 / R cap. K 21, 5

Πρὸς Ἐφεσίους·

Ὁ κλέπτων, μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος ταῖς ἰδίαις χερσίν, ἵνα ἔχῃ μεταδοῦναι τῷ χρείαν ἔχοντι.

---

**5 – 6** ***II$^2$1847** Sir. 36, 31$^{1–2}$ (Wahl, *Sirach-Text*, p. 145) **9 – 10** ***II$^2$1848** Eph. 4, 28

---

**4 – 6** ***II$^2$1847** R cap. K 21, 4 (198r[5]5–6); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 10** ***II$^2$1848** R cap. K 21, 5 (198r[6]7–8); *deest in* T$^{(lac.)}$ H$^{III}$

## Τίτλος κβʹ Περὶ κινδύνων καὶ περιστάσεων, ὅτι χρὴ ἐκκλῖναι καὶ διαδράναι τὰς τούτων ἐπιδρομάς.

### *II²1849 / R cap. K 22, 1

Βασιλειῶν αʹ·

Δαυῒδ φυγὼν ἐσώθη.

### *II²1850 / R cap. K 22, 2

Ἡσαΐου·

Βάδιζε, λαός μου, εἴσελθε εἰς τὸ ταμιεῖον σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρόν, ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ὀργὴ κυρίου.

### *II²1851 / R cap. K 22, 3

**II¹1255 / K cap. K 4, 4**

Παροιμιῶν·

Σοφὸς φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακοῦ,
ὁ δὲ ἄφρων, ἑαυτῷ πεποιθώς, μίγνυται ἀνόμῳ.

---

**5 *II²1849** I Reg. 19, 18 (Wahl, *1 Samuel-Text*, p. 70) **8 – 10 *II²1850** Is. 26, 20 (Wahl, *Prophetenzitate*, p. 351) **13 – 14 *II²1851** Prov. 14, 16$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 71)

---

**1 – 2 Titlos** R (198r8 –9) A$^{\text{III pin}}$; *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$A$^{\text{III txt}}$ **4 – 5 *II²1849** R cap. K 22, 1 (198r[9]10); *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$ **7 – 10 *II²1850** R cap. K 22, 2 (198r[10]10–11); *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$ **12 – 14 *II²1851** R cap. K 22, 3 (198r[12]12–13); *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$

---

**1** Τίτλος] *om.* A$^{\text{III pin}}$ R$^{\text{pin}}$ κβʹ] *propt. mg. resect. non liquet in* A$^{\text{III pin}}$ *(*ιςʹ *secund. ser.)* ἐκκλῖναι] ἐκκλίναι R$^{\text{pin}}$, ἐκκλίνειν A$^{\text{III pin}}$ **2** διαδράναι] διαδιδράσκειν A$^{\text{III pin}}$

## *II$^{2}$1852 / R cap. K 22, 4

Τῶν αὐτῶν·

Μακάριος ἀνήρ, ὃς καταπτή<σ>σει πάντα δι’ εὐλάβειαν.

**II$^{1}$1256 / K cap. K 4, 5**

## *II$^{2}$1853 / R cap. K 22, 5

Τῶν αὐτῶν·

Πανοῦργος κακῶν ἐπερχομένων ἀπεκρύβη,
ἄφρονες δὲ ἐπελθόντες ζημίαν τίσουσιν.

## *II$^{2}$1854 / R cap. K 22, 6

Τῶν αὐτῶν·

Δίκαιος ἐκ θήρας ἐκδύνει,
ἀντ’ αὐτοῦ δὲ παραδοθήσεται ἀσεβής.

## *II$^{2}$1855 / R cap. K 22, 7

Τῶν αὐτῶν·

Τῷ φόβῳ κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ.

---

**3** ***II$^{2}$1852** Prov. 28, 14$^{1}$ (Wahl, *Proverbien-Text*, p. 136) **6 – 7** ***II$^{2}$1853** Prov. 27, 12$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 132) **10 – 11** ***II$^{2}$1854** Prov. 11, 8$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 56) **14** ***II$^{2}$1855** Prov. 15, 27a$^{2}$ (Wahl, *Proverbien-Text*, p. 78)

---

**2 – 3** ***II$^{2}$1852** R cap. K 22, 4 (198r[13]13–14); *deest in* T$^{(lac.)}$ H$^{III}$ **5 – 7** ***II$^{2}$1853** R cap. K 22, 5 (198r[14]14–15); *deest in* T$^{(lac.)}$ H$^{III}$ **9 – 11** ***II$^{2}$1854** R cap. K 22, 6 (198r[15]15–16); *deest in* T$^{(lac.)}$ H$^{III}$ **13 – 14** ***II$^{2}$1855** R cap. K 22, 7 (198r[16]16); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**3** καταπτήσσει] *scripsi (LXX)*, καταπτήσει R

### *II²1856 / R cap. K 22, 8

Σιράχ·

Ὁ ἀγαπῶν κίνδυνον ἐν αὐτῷ ἀπολεῖται.

### *II²1857 / R cap. K 22, 9

Ματθαίου·

Εἶπεν ὁ κύριος· Ἐγὼ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ.

### *II²1858 / R cap. K 22, 10

Τοῦ αὐτοῦ·

Ὅταν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην.

### *II²1859 / R cap. K 22, 11

Τοῦ Θεολόγου, ἐκ τοῦ α′ στηλιτευτικοῦ·

Χρὴ παραχωρεῖν τῷ καιρῷ, ἀδικίας κρατούσης, κἂν λίαν τίς εἴη ἀνδρικώτατος καὶ καρτερικώτατος.

---

**3 *II²1856** Sir. 3, 26² (Wahl, *Sirach-Text*, p. 51) **6 *II²1857** Εἶπεν – κύριος] cf. Matth. 5, 2 Ἐγὼ – πονηρῷ] Ibid. 5, 39 **9 *II²1858** Matth. 10, 23 **12 *II²1859** Χρὴ – κρατούσης] cf. Gregorius Nazianzenus, *Contra Iulianum imperatorem I (Orat. 4)*, 92, 21–22 (ed. Bernardi, p. 232) **12 – 13** κἂν – καρτερικώτατος] cf. Id., *Epistulae*, CCXIX, 3 (ed. Gallay, II, p. 110)

---

**2 – 3 *II²1856** R cap. K 22, 8 (198r[16]17); *deest in* T$^{(lac.)}$ H$^{III}$ **5 – 6 *II²1857** R cap. K 22, 9 (198r[17]17–18); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 9 *II²1858** R cap. K 22, 10 (198r[18]18–19); *deest in* T$^{(lac.)}$ H$^{III}$ **11 – 13 *II²1859** R cap. K 22, 11 (198r[19]19–20); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**9** ὑμᾶς] *scripsi (NT)*, ἡμᾶς R

# Στοιχεῖον Λ

## <Τίτλος α′> Περὶ λήθης καὶ ληθαργῶν.

<***>

---

**1 Stoicheion** R$^{\text{txt}}$ (201r8) R$^{\text{pin}}$ A$^{\text{III pin}}$; *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$A$^{\text{III txt}}$ **2 Titlos** A$^{\text{III pin}}$ (17v23); *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$A$^{\text{III txt}}$ R

---

**1** Λ] λάβδα *(sic)* R$^{\text{txt}}$, *add.* βϊβλΐον γ′ A$^{\text{III pin}}$ **2** Τίτλος α′] *supplevi*

---

**3** *loci sub hoc titulo allati desunt in* A$^{\text{III txt}}$

## Τίτλος α′ Περὶ λοιδορίας. II$^{1}$ / K cap. Λ 2

### *II$^{2}$1860 / R cap. Λ 1, 1

Ἀπὸ τῆς Ἐξόδου·

Οὐ παραδέξῃ ἀκοὴν ματαίαν.

### *II$^{2}$1861 / R cap. Λ 1, 2

<***>

Ἀπὸ παντὸς ῥήματος ἀδίκου ἀποστήσῃ.

### *II$^{2}$1862 / R cap. Λ 1, 3

Παροιμιῶν·

Ὁ κακὸς ὑπακούει γλώσσαις παρανόμων.

### *II$^{2}$1863 / R cap. Λ 1, 4 II$^{1}$1386 / K cap. Λ 2, 3

Τῶν αὐτῶν·

Οἱ ἐκφέροντες λοιδορίαν ἀφρονέστατοι καὶ ἀσεβεῖς.

---

**4 *II$^{2}$1860** Ex. 23, 1 **7 *II$^{2}$1861** Ex. 23, 7 **10 *II$^{2}$1862** Prov. 17, $4^{1}$ (Wahl, *Proverbien-Text*, p. 85) **13 *II$^{2}$1863** Prov. 10, $18^{2}$ (Wahl, *Proverbien-Text*, p. 53)

---

**1 Titlos** R (201r8); *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III}$ **3 – 4 *II$^{2}$1860** R cap. Λ 1, 1 (201r[8]9); *deest in* T$^{(lac.)}$ H$^{III}$ **6 – 7 *II$^{2}$1861** R cap. Λ 1, 2 (201r9); *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III}$ **9 – 10 *II$^{2}$1862** R cap. Λ 1, 3 (201r[10]10); *deest in* T$^{(lac.)}$ H$^{III}$ **12 – 13 *II$^{2}$1863** R cap. Λ 1, 4 (201r[10]10–11); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** α′] *iterav.* R$^{pin}$

---

***II$^{2}$1861** *s. d.* R

II¹1387 / K cap. Λ 2, 4

## *II²1864 / R cap. Λ 1, 5

Τῶν αὐτῶν·

Δόξα ἀνδρὸς ἀποστρέφεσθαι λοιδορίας,
πᾶς δὲ ἄφρων τοιούτοις ἐμπλέκεται.

II¹1389 / K cap. Λ 2, 6

## *II²1865 / R cap. Λ 1, 6

Τῶν αὐτῶν·

Ἐσχάρα ἄνθραξι καὶ ξύλα πυρί,
ἀνὴρ δὲ λοίδορος εἰς ἀρχὴν μάχης.

II¹1390 / K cap. Λ 2, 7

## *II²1866 / R cap. Λ 1, 7

Σιράχ·

Πρὸ πυρὸς ἀτμὶς καμίνου καὶ καπνός·
οὕτως πρὸ αἱμάτων λοιδορία.

II¹suppl. 335 / V cap. Λ 2, 5

## *II²1867 / R cap. Λ 1, 8

Τοῦ αὐτοῦ·

Ὅταν παιδίον σε νήπιον λοιδορήσῃ, γέλωτος ἀφορμὴν ποίει τὰ

---

**11 – 12** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 69.6./40.6. (ed. Ihm, p. 1012)

---

**3 – 4** ***II²1864** Prov. 20, $3^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 96–97) **7 – 8** ***II²1865** Prov. 26, $21^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 129) **11 – 12** ***II²1866** Sir. 22, $24^{1-2}$ (Wahl, *Sirach-Text*, p. 108) **15 – 831, 2** ***II²1867** Sir., re vera BASILIUS CAESARIENSIS, *Homilia adversus eos qui irascuntur*, 7 (PG 31, 369, 34–37)

---

**2 – 4** ***II²1864** R cap. Λ 1, 5 (201r[11]11–12); *deest in* T$^{(lac.)}$ H$^{III}$ **6 – 8** ***II²1865** R cap. Λ 1, 6 (201r[12]12–13); *deest in* T$^{(lac.)}$ H$^{III}$ **10 – 12** ***II²1866** R cap. Λ 1, 7 (201r[13]14); *deest in* T$^{(lac.)}$ H$^{III}$ **14 – 831, 2** ***II²1867** R cap. Λ 1, 8 (201r[15]15–17); *deest in* T$^{(lac.)}$ H$^{III}$

λοιδορήματα, καὶ ὅταν ὑπὸ φρενίτιδος ἐξεστηκὼς τὴν διάνοιαν φθέγγηται ῥήματα ἀτιμίας, ἐλεεινὸν ἡγοῦ μᾶλλον ἢ μίσους ἄξιον.

## *II$^2$1868 / R cap. Λ 1, 9

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ ὀργῆς·

Οὐδὲ ἡ ἐν ταῖς ἐρήμοις ἠχὼ οὕτω ἀνεκλάσθη ἀκεραία πρὸς τὸν φθεγξάμενον, ὡς ἐπὶ τὸν λοίδορον αἱ ὕβρεις ἐπαναστρέφουσι· μᾶλλον δέ, ὁ μὲν ἦχος ὁ αὐτὸς ἀπεδόθη, ἡ δὲ λοιδορία μετὰ προσθήκης ἐπάνεισι.

## *II$^2$1869 / R cap. Λ 1, 10

<***>

Πονηρὸν ἡ λοιδορία, φεῦγε τὴν μίμησιν.

## *II$^2$1870 / R cap. Λ 1, 11

Τοῦ αὐτοῦ·

Πάντες ἐσμὲν εὐσεβεῖς ἐξ ἑνός, τοῦ καταγινώσκειν ἀλλήλων ἀσέβειαν.

---

**14 – 15** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 63.7./70.7. (ed. Ihm, p. 933)

---

**5 – 8** ***II$^2$1868** Basilius Caesariensis, *Homilia adversus eos qui irascuntur*, 3 (PG 31, 357, 37–41) **11** ***II$^2$1869** Basilius Caesariensis, *Homilia adversus eos qui irascuntur*, 4 (PG 31, 361, 17–18) **14 – 15** ***II$^2$1870** Basilius Caesariensis, re vera Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 79, 4–5 (ed. Bernardi, p. 192)

---

**4 – 8** ***II$^2$1868** R cap. Λ 1, 9 (201r[17–18]18–21); *deest in* T$^{(lac.)}$ H$^{III}$ **10 – 11** ***II$^2$1869** R cap. Λ 1, 10 (201r21); *deest in* T$^{(lac.)}$ H$^{III}$ **13 – 15** ***II$^2$1870** R cap. Λ 1, 11 (201r[21]21–22); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$1869** *s. d.* R

---

**1** ἐξεστηκὼς] *correxi (*II$^1$suppl. 335 / V cap. Λ 2, 5*)*, ἐξεστηκότος R

**II$^1$1393 / K cap. Λ 2, 10**

## *II$^2$1871 / R cap. Λ 1, 12

Τοῦ Χρυσοστόμου, ἐκ τοῦ κατὰ Ματθαῖον·

Ἐάν τις βούληται κακηγορεῖν, μὴ τὸ κακῶς ἀκούειν <ἀλγῶμεν>, ἀλλὰ τὸ δικαίως ἀκούειν κακῶς. Ἂν μὲν γὰρ ἐν πονηρίᾳ ζῶμεν, κἂν μηδεὶς ὁ κακηγορῶν ᾖ, πάντων ἐσμὲν ἀθλιώτεροι· ἂν δὲ ἀρετῆς ἐπιμελώμεθα, κἂν ἡ οἰκουμένη λέγῃ κακῶς, τότε μᾶλλον ἐσμὲν ζηλωτότεροι.

**II$^1$1395 / K cap. Λ 2, 12**

## *II$^2$1872 / R cap. Λ 1, 13

Τοῦ αὐτοῦ·

Εἰ οἱ παραδεχόμενοι ἀκοὴν ματαίαν οὐκ ἂν τύχοιεν συγγνώμης, οἱ διαβάλλοντες καὶ λοιδοροῦντες ποίαν ἕξουσιν ἀπολογίαν;

**II$^1$suppl. 336 / V cap. Λ 2, 8**

## *II$^2$1873 / R cap. Λ 1, 14

Τοῦ αὐτοῦ·

Εἰ πειθαρχεῖς τῷ θείῳ Ἀποστόλῳ διαρρήδην βοῶντι ὅτι Λοίδοροι οὐδαμῶς τεύξονται βασιλείας οὐρανῶν, φεῦγε τὴν φλυαρίαν καὶ τὸ διασύρειν ἁπλῶς καὶ ὡς ἔτυχε τοὺς μηδὲν ἀδικοῦντας.

---

**10 – 11** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 10.14./14. (ed. Ihm, p. 245) **14 – 15** Λοίδοροι – οὐρανῶν] cf. I Cor. 6, 10

---

**3 – 7** ***II$^2$1871** IOHANNES CHRYSOSTOMUS, *In Matthaeum*, XV, 8 (PG 57, 234, 15–21) **10 – 11** ***II$^2$1872** IOHANNES CHRYSOSTOMUS, *De decem millium talentorum debitore*, 4 (PG 51, 23, 53–56) **14 – 16** ***II$^2$1873** IOHANNES CHRYSOSTOMUS, re vera NILUS MONACHUS (ANCYRANUS?), locus non repertus (Nilo attribuitur in *II$^2$1926 / R cap. M 1, 16, II$^1$suppl. 336 / V cap. Λ 2, 8 et II$^1$suppl. 348 / V cap. M 5, 30)

---

**2 – 7** ***II$^2$1871** R cap. Λ 1, 12 (201r[22]23–26); *deest in* T$^{(lac.)}$ H$^{III}$ **9 – 11** ***II$^2$1872** R cap. Λ 1, 13 (201r[26]27–28); *deest in* T$^{(lac.)}$ H$^{III}$ **13 – 16** ***II$^2$1873** R cap. Λ 1, 14 (201r[28]29–31); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**3** ἀλγῶμεν] *supplevi (*II$^1$1393 / K cap. Λ 2, 10*)*, *om.* R

## *II$^2$1874 / R cap. Λ 1, 15

**II$^1$suppl. 337 / V cap. Λ 2, 9**

Νείλου μοναχοῦ·

Λέγεις ὅτι παίζων, οὐ μέντοιγε μισεῖν προτεθησόμενος, ἀλλ' ἱλαρευόμενος, λοιδορεῖς τοὺς ἀμωμήτους ἄνδρας; Οὐκοῦν παίζων καὶ ἱλαρευόμενος ὑπόστηθι τὴν αἰώνιον κόλασιν, καὶ μετεωριζόμενος πορεύου εἰς τὸ πῦρ ἐκεῖνο τὸ ἄρρητον.

## *II$^2$1875 / R cap. Λ 1, 16

**II$^1$suppl. 338 / V cap. Λ 2, 10**

Τοῦ αὐτοῦ·

Μὴ ἄλγει μὴ δὲ διαπρίου, λοιδορούμενος εὐλόγως ἐπὶ τοῖς πταίσμασί σου καὶ ὀνειδιζόμενος, μᾶλλον δὲ ἀσμένιζε ἀκούειν τὰ οἰκεῖα σκώμματα.

---

**3 – 6** ***II$^2$1874** NILUS MONACHUS (ANCYRANUS), *Epistulae* (numerus incertus; cf. II$^1$suppl. 337 / V cap. Λ 2, 9), locus non repertus **9 – 11** ***II$^2$1875** NILUS MONACHUS (ANCYRANUS), *Epistulae*, 4194 (quod attinet ad numerum, vide II$^1$suppl. 338 / V cap. Λ 2, 10), locus non repertus

---

**2 – 6** ***II$^2$1874** R cap. Λ 1, 15 (201r[31]32–35); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 11** ***II$^2$1875** R cap. Λ 1, 16 (201r[35]35–37); *deest in* T$^{(lac.)}$ H$^{III}$

## Τίτλος β′ Περὶ λόγου καὶ τοῦ ἐν τούτῳ ἐπαίνου ἢ ψόγου.

### *II$^{2}$1876 / R cap. Λ 2, 1

Παροιμιῶν·

Κηρία μέλιτος λόγοι καλοί,
γλυκασμὸς δὲ αὐτῶν ἴασις ψυχῆς.

### *II$^{2}$1877 / R cap. Λ 2, 2

Τῶν αὐτῶν·

Εἰσὶν οἳ λέγοντες τιτρώσκουσι μαχαίρᾳ,
γλῶσσαι δὲ σοφῶν ἰῶνται.

### *II$^{2}$1878 / R cap. Λ 2, 3

Τῶν αὐτῶν·

Χείλη ἀνδρῶν δικαίων ἀποστάζουσι χάριτας.

---

**4 – 5** ***II$^{2}$1876** Prov. 16, 24$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 83) **8 – 9** ***II$^{2}$1877** Prov. 12, 18$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 64) **12** ***II$^{2}$1878** Prov. 10, 32$^{1}$ (Wahl, *Proverbien-Text*, p. 55)

---

**1** **Titlos** R (201r38); *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III}$ **3 – 5** ***II$^{2}$1876** R cap. Λ 2, 1 (201r[38]39); *deest in* T$^{(lac.)}$ H$^{III}$ **7 – 9** ***II$^{2}$1877** R cap. Λ 2, 2 (201r[39]40); L$^{c}$ cap. Α 27, 3; *deest in* T$^{(lac.)}$ H$^{III}$ **11 – 12** ***II$^{2}$1878** R cap. Λ 2, 3 (201v[mg]1); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* R$^{pin}$ ἢ ψόγου] *s. l.* R$^{txt}$

---

***II$^{2}$1877** (a) R (b) Παροιμιῶν L$^{c}$

---

**8** εἰσὶν οἱ R

## *II²1879 / R cap. Λ 2, 4

Τῶν αὐτῶν·

Λόγος λυπηρὸς ἐγείρει ὀργάς.

## *II²1880 / R cap. Λ 2, 5

Τῶν αὐτῶν·

Ὁδοὶ ζωῆς διανοήματα συνετοῦ.

## *II²1881 / R cap. Λ 2, 6

Τῶν αὐτῶν·

Ἁγνῶν ῥήσεις σεμναί.

## *II²1882 / R cap. Λ 2, 7

Τῶν αὐτῶν·

Καρδία σοφοῦ νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος, ἐπὶ δὲ χείλεσι φορέσει ἐπιγνωμοσύνην.

---

**6** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 52.3./59.3. (ed. Ihm, p. 841)

---

**3 *II²1879** Prov. 15, 1³ (Wahl, *Proverbien-Text*, p. 74) **6 *II²1880** Prov. 15, 24¹ (Wahl, *Proverbien-Text*, p. 78) **9 *II²1881** Prov. 15, 26² (Wahl, *Proverbien-Text*, p. 78) **12 – 13 *II²1882** Prov. 16, 23¹⁻² (Wahl, *Proverbien-Text*, p. 78)

---

**2 – 3 *II²1879** R cap. Λ 2, 4 (201v[1]1–2); *deest in* T(lac.) HIII **5 – 6 *II²1880** R cap. Λ 2, 5 (201v[2]2); *deest in* T(lac.) HIII **8 – 9 *II²1881** R cap. Λ 2, 6 (201v[2]2–3); *deest in* T(lac.) HIII **11 – 13 *II²1882** R cap. Λ 2, 7 (201v[3]3–4); *deest in* T(lac.) HIII

## *II²1883 / R cap. Λ 2, 8

Τοῦ Ἐκκλησιαστοῦ·

Φωνὴ ἄφρονος ἐπλήσθη λόγων.

## *II²1884 / R cap. Λ 2, 9

Τοῦ αὐτοῦ·

Λόγοι στόματος σοφοῦ, χάρις.

## *II²1885 / R cap. Λ 2, 10

Σιράχ·

Ἑτοίμασον λόγον καὶ οὕτως ἀκουσθήσῃ,
σύστησον παιδείαν καὶ τότε ἀποκρίθητι.

## *II²1886 / R cap. Λ 2, 11

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς·

Εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνήρ, δυνάμενος χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα.

---

**3 *II²1883** Eccle. 5, 2² (Wahl, *Kohelet-Text*, p. 156) **6 *II²1884** Eccle. 10, 12¹ (Wahl, *Kohelet-Text*, p. 170) **9 – 10 *II²1885** Sir. 36, 4¹⁻² (Wahl, *Sirach-Text*, p. 144) **13 – 14 *II²1886** Iac. 3, 2

---

**2 – 3 *II²1883** R cap. Λ 2, 8 (201v[4]4–5); *deest in* T$^{(lac.)}$ H$^{III}$ **5 – 6 *II²1884** R cap. Λ 2, 9 (201v[5]5); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 10 *II²1885** R cap. Λ 2, 10 (201v[5]5–6); *deest in* T$^{(lac.)}$ H$^{III}$ **12 – 14 *II²1886** R cap. Λ 2, 11 (201v[7]7–8); *deest in* T$^{(lac.)}$ H$^{III}$

## *II$^{2}$1887 / R cap. Λ 2, 12

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸ *Πρόσεχε σεαυτῷ*·

Ἀρετὴ λόγου μήτε ἀσαφείᾳ κρύπτειν τὰ σημαινόμενα, μήτε περιττὸν εἶναι καὶ μάταιον, εἰκῇ τοῖς πράγμασι περριρέοντα.

## *II$^{2}$1888 / R cap. Λ 2, 13

Τοῦ Θεολόγου, ἐκ τοῦ περὶ υἱοῦ α′ λόγου·

*Καιρὸς τοῦ λαλεῖν*, δι᾽ ὧν ὁ βίος ἡμῶν πρὸς ἀρετὴν ἐπιδίδωσιν, ὅσα πρὸς ἀσφάλειαν ἑαυτοῦ τὲ τοῦ λέγοντος καὶ τῶν ἀκουόντων συμβάλλεται.

---

7 Eccle. 3, 7$^{2}$

---

**3 – 4** ***II$^{2}$1887** BASILIUS CAESARIENSIS, *Homilia in illud:* Attende tibi ipsi *(Deut. 15, 9)*, 1 (ed. Rudberg, p. 23, 19 – 24, 2) **7** ***II$^{2}$1888** Καιρὸς – ἐπιδίδωσιν] GREGORIUS NAZIANZENUS, *De filio I (Orat. 29)*, re vera GREGORIUS NYSSENUS, *In Ecclesiasten*, VII (ed. Alexander, p. 416, 8 – 9) **7 – 9** ὅσα – συμβάλλεται] locus non repertus (cf. *II$^{2}$1717 / R cap. Κ 2, 12)

---

**2 – 4** ***II$^{2}$1887** R cap. Λ 2, 12 (201v[8]9–10); L$^{c}$ cap. Α 27, 31; *deest in* T$^{(lac.)}$ H$^{III}$
**6 – 9** ***II$^{2}$1888** R cap. Λ 2, 13 (201v[10]11–12); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$1887** Τοῦ – τοῦ] *om.* L$^{c}$

---

**3** ἀσάφεια L$^{c}$

II$^{1}$ / K cap. Λ 3

## Τίτλος γʹ  Περὶ λιμοῦ καὶ τῆς ἐκ τούτου ἀνάγκης.

II$^{1}$1400 / K cap. Λ 3, 5

### *II$^{2}$1889 / R cap. Λ 3, 1

Βασιλειῶν αʹ·

Ἐγένετο λιμὸς ἐν Σαμαρείᾳ, ἕως τοῦ γενέσθαι κεφαλὴν ὄνου ἀργυρίου πεντήκοντα σικλῶν καὶ τέταρτον τοῦ κάβου <κόπρου> τῶν περιστερῶν πέντε σικλῶν ἀργυρίου. Καὶ ἦν ὁ βασιλεὺς Ἰσραὴλ διαπορευόμενος ἐπὶ τοῦ τείχους, καὶ γυνὴ ἐβόησε πρὸς αὐτόν, λέγουσα· Σῶσον, κύριε βασιλεῦ. Καὶ εἶπεν αὐτῇ· Μὴ σώσῃ σε κύριος, πόθεν σε σώσω; Ἀπὸ τοῦ ἅλωνος ἢ ἀπὸ τοῦ ὑποληνίου; Καὶ εἶπεν αὐτῇ ὁ βασιλεύς· Τί σοι ἐστί; Καὶ εἶπεν· Ἡ γυνὴ αὕτη εἶπε· Δός μοι τὸν υἱόν σου, καὶ φάγωμεν αὐτὸν σήμερον· καὶ τὸν υἱόν μου φαγόμεθα αὔριον. Καὶ ἔψησα τὸν υἱόν μου, καὶ ἐφάγομεν αὐτόν. Καὶ εἶπον αὐτῇ· Δὸς τὸν υἱόν σου τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, καὶ φαγόμεθα αὐτόν. Καὶ ἔκρυψεν αὐτόν. Καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς τῶν λόγων τῆς γυναικός, διέρρηξε τὰ ἱμάτια αὐτοῦ.

II$^{1}$1403 / K cap. Λ 3, 8

### *II$^{2}$1890 / R cap. Λ 3, 2

Παροιμιῶν·

Προηγεῖται τῆς ἐνδείας στάσις καὶ μάχη.

---

**4 – 16** ***II$^{2}$1889** I Reg., re vera IV Reg. 6, 25–30 (Wahl, *4 Könige-Text*, p. 130–131)
**19** ***II$^{2}$1890** Prov. 17, 14$^{2}$ (Wahl, *Proverbien-Text*, p. 87)

---

**1** **Titlos** R (201v13) (*cf.* PML$^{b}$ cap. Λ 2 titlos [II$^{1}$ / K cap. Λ 3 titlos (c)]); *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III}$ **3 – 16** ***II$^{2}$1889** R cap. Λ 3, 1 (201v[13]14–23); *deest in* T$^{(lac.)}$ H$^{III}$ **18 – 19** ***II$^{2}$1890** R cap. Λ 3, 2 (201v[23]24); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* R$^{pin}$

---

**5** κάβοῦ *(sic)* R κόπρου] *supplevi (LXX)*, *om.* R **9** τοῦ$^{1}$] *sic* R **12** φαγόμεθα] *scripsi (*II$^{1}$*)*, φαγώμεθα R ἔψησα R **14** φαγόμεθα] *scripsi (*II$^{1}$*)*, φαγώμεθα R

## *II$^2$1891 / R cap. Λ 3, 3

II$^1$1402 / K cap. Λ 3, 7

Τῶν αὐτῶν·

Ὁ συνέχων σῖτον, ἀπολίποιτο αὐτὸν τοῖς ἔθνεσιν.

## *II$^2$1892 / R cap. Λ 3, 4

II$^1$1404 / K cap. Λ 3, 9

Ἰωήλ·

Πενθεῖτε, ἱερεῖς οἱ λειτουργοῦντες τὰ θυσιαστήρια, ὅτι τεταλαιπώρηκε πεδία. Πενθείτω ἡ γῆ, ὅτι τεταλαιπώρηκεν ὁ σῖτος, ἐξηράνθη ὁ οἶνος, ὠλιγώθη ἔλαιον, κατησχύνθησαν γεωργοί. Θρηνεῖτε κτήματα ὑπὲρ πυροῦ καὶ κριθῆς· ἀπόλωλε τρυγητὸς ἐξ ἀγροῦ· ἡ ἄμπελος ἐξηράνθη, καὶ συκαῖ ὠλιγώθησαν· ῥόα καὶ φοῖνιξ καὶ μῆλον καὶ πάντα τὰ ξύλα τοῦ δρυμοῦ ἐξηράνθησαν, ὅτι κατήσχυναν χήραν υἱοὶ τῶν ἀνθρώπων.

## *II$^2$1893 / R cap. Λ 3, 5

II$^1$1406 / K cap. Λ 3, 11

Ἱερεμίου·

Ἐξέλιπον ἐν δάκρυσιν οἱ ὀφθαλμοί μου, ἐταράχθη ἡ κοιλία μου,
ἐξεχύθη εἰς γῆν ἡ δόξα μου ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ [λαοῦ μου,
ἐν τῷ ἐκδύσασθαι νήπια καὶ θηλάζοντα ἐν πλατείαις πόλεως.
Ταῖς μητράσιν αὐτῶν εἶπον· Ποῦ σῖτος καὶ οἶνος;
ἐν τῷ ἐκχεῖσθαι ψυχὰς αὐτῶν εἰς κόλπον πατέρων αὐτῶν.

---

**3** ***II$^2$1891** Prov. 11, 26$^1$ (Wahl, *Proverbien-Text*, p. 59–60) **6 – 12** ***II$^2$1892** Ioel 1, 9–12 (Wahl, *Prophetenzitate*, p. 213–215) **15 – 19** ***II$^2$1893** Ἐξέλιπον – οἶνος] Thren. 2, 11$^1$–12$^1$ (Wahl, *Prophetenzitate*, p. 600–601) **20** ἐν – αὐτῶν] Ibid. 2, 12$^3$ (Wahl, p. 601)

---

**2 – 3** ***II$^2$1891** R cap. Λ 3, 3 (201v[24]24–25); *deest in* T$^{(lac.)}$ H$^{III}$ **5 – 12** ***II$^2$1892** R cap. Λ 3, 4 (201v[25]25–31); *deest in* T$^{(lac.)}$ H$^{III}$ **14 – 20** ***II$^2$1893** R cap. Λ 3, 5 (201v[31]31–35); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**18** ἐκδύσασθαι] *sic* R *(cf.* II$^1$, *app. crit.)*, ἐκλύεσθαι *(LXX) legendum videtur* **19** μητρασιν R

**II$^{1}$1407 / K cap. Λ 3, 12**

## *II$^{2}$1894 / R cap. Λ 3, 6

Τοῦ αὐτοῦ·

Ἴδε, κύριε, καὶ ἐπίβλεψον τίνι ἐπεφοίτησας οὕτως·
<ε>ἰ φάγονται γυναῖκες καρπὸν κοιλίας αὐτῶν;
Ἐπιφυλλίδα ἐποίησε μάγειρος· φονευθήσονται νήπια θηλάζοντα
[μασθούς;

**II$^{1}$1409 / K cap. Λ 3, 14**

## *II$^{2}$1895 / R cap. Λ 3, 7

<***>

Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ παιδία ἑαυτῶν,
καὶ ἐγένοντο εἰς βρῶσιν ἑαυταῖς.

**II$^{1}$1405 / K cap. Λ 3, 10**

## *II$^{2}$1896 / R cap. Λ 3, 8

<***>

Ὅτι οὐκ ἦν ὑετὸς ἐπὶ τῆς γῆς, ᾐσχύνθησαν γεωργοί, καὶ ἐπεκάλυψαν τὴν κεφαλὴν αὐτῶν. Καί γε ἔλαφοι ἐν ἀγρῷ ἔτεκον καὶ ἐγκατέλιπον, ὅτι οὐκ ἦν βοτάνη. Ὄναγροι ἔστησαν ἐπὶ νάπαις· εἵλκυσαν ἄνεμον ὡς δράκων, ἐξέλιπον οἱ ὀφθαλμοὶ αὐτῶν, ὅτι οὐκ ἦν χόρτος.

---

**3 – 6** ***II$^{2}$1894** Thren. 2, 20$^{1-3}$ (Wahl, *Prophetenzitate*, p. 601) **9 – 10** ***II$^{2}$1895** Thren. 4, 10$^{1-2}$ (Wahl, *Prophetenzitate*, p. 607–608) **13 – 17** ***II$^{2}$1896** Ier. 14, 4–6 (Wahl, *Prophetenzitate*, p. 526–527)

---

**2 – 6** ***II$^{2}$1894** R cap. Λ 3, 6 (201v[35]35–37); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 10** ***II$^{2}$1895** R cap. Λ 3, 7 (201v38–39); *deest in* T$^{(lac.)}$ H$^{III}$ **12 – 17** ***II$^{2}$1896** R cap. Λ 3, 8 (201v39–202r2); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$1895** *s. d.* R ***II$^{2}$1896** *s. d.* R

---

**3 – 4** οὕτως· εἰ] *scripsi (LXX)*, οὑτωσὶ R **4** φάγονται] *scripsi*, φάγωνται R

## *II$^{2}$1897 / R cap. Λ 3, 9

**II$^{1}$1410 / K cap. Λ 3, 15**

Τοῦ ἁγίου Βασιλείου, κατὰ πλεονεξίας·

Μὴ ἀναμείνῃς, ἄνθρωπε, σιτοδείαν, ἵνα ἀνοίξῃς σιτοδοχεῖα· *ὁ γὰρ τιμιουλκῶν σῖτον δημοκατάρατος*. Μὴ λιμὸν ἐκδέχου διὰ χρυσόν, μὴ κοινὴν ἔνδειαν διὰ ἰδίαν εὐπορίαν. Μὴ γίνου κάπηλος συμφορῶν ἀνθρωπίνων· μὴ τὴν ὀργὴν τοῦ θεοῦ καιρὸν ποιήσῃς περιουσίας χρημάτων· μὴ ἐπιξάνῃς τραύματα κεκακωμένων ταῖς μάστιξι. Σὺ δὲ τὸν χρυσὸν μὲν προσαποβλέπεις, τὸν δὲ ἀδελφὸν οὐ προσβλέπεις, καὶ τοῦ μὲν νομίσματος ἐπιγινώσκεις τὸ χάραγμα, καὶ τοῦ δοκίμου διακρίνεις τὸ κίβδηλον, τὸν δὲ φίλον παρὰ τὴν χρείαν ὄντα, παντελῶς ἀγνοεῖς. Τί οὖν; Ἐπὶ τοὺς παῖδας λοιπὸν ἄγει τὸν ὀφθαλμόν, ὥστε αὐτοὺς ἀγαγὼν εἰς τὸ πρατήριον, ἐντεῦθεν εὑρεῖν τοῦ θανάτου παραμυθίαν. Νόησον ἐνταῦθα μάχην ἀνάγκης λιμοῦ καὶ διαθέσεως πατρικῆς. Τίνα πρῶτον ἀπεμπολήσω; Τίνα ἡδέως ὁ σιτοπώλης ὄψεται; Ἐπὶ τὸν πρεσβύτατον ἔλθω; Ἀλλὰ δυσωποῦμαι αὐτοῦ τὰ πρεσβεῖα. Ἀλλ᾽ ἐπὶ τὸν νεώτατον; Ἀλλ᾽ ἐλεῶ αὐτοῦ τὴν ἡλικίαν. Φεῦ τῆς ἀμηχανίας. Τίνι τούτων προσκρούσω; Ποίαν θηρίου ψυχὴν ἀναλάβω; Πῶς τῆς φύσεως ἐπιλάθωμαι; Ἐὰν πάντων ἀντίσχωμαι, πάντας ὄψομαι δαπανωμένους τῷ πάθει. Ἐὰν ἕνα προῶμαι, ποίοις ὀφθαλμοῖς τοῖς λοιποῖς προσίδω; Πῶς οἰκήσω τὴν οἰκίαν, ἐμαυτῷ κατασκευάσας τὴν ἀπαιδίαν; Πῶς ἐπὶ τὴν τράπεζαν ἔλθω, ἐκ τοιαύτης προφάσεως τὴν εὐπορίαν ἔχουσαν; Καὶ ὁ μὲν μετὰ μυρίων δακρύων τὸν παῖδα ἔρχεται ἀπεμπολήσων, σὲ δὲ οὐ κάμπτει τὸ πάθος· οὐ λογισμὸν λαμβάνεις τῆς φύσεως. Ἀλλ᾽ ὁ μὲν λιμὸς συνέχει τὸν ἄθλιον, σὺ δὲ ἀναβάλλῃ καὶ εἰρωνεύῃ, μακροτέραν αὐτοῦ κατασκευάζων τὴν συμφοράν.

---

**3 – 4** Prov. 11, 26$^{2}$ La (cf. II$^{1}$1401 / K cap. Λ 3, 6)

---

**3 – 11** ***II$^{2}$1897** Μὴ – ἀγνοεῖς] Basilius Caesariensis, *Homilia in illud:* Destruam horrea mea *(Luc. 12, 18) et de avaritia*, III (ed. Courtonne, p. 23, 12–19) **11 – 14** Τί – πατρικῆς] Ibid., IV (p. 25, 5–8) **14 – 17** Τίνα – ἡλικίαν] Ibid. (p. 25, 12–14) **17 – 27** Φεῦ – συμφοράν] Ibid. (p. 25, 16–26)

---

**2 – 27** ***II$^{2}$1897** R cap. Λ 3, 9 (202r[2]3–24); *deest in* T$^{(lac.)}$ H$^{III}$

**8** τὸν$^{1}$ – προσαποβλέπεις] πρὸς μὲν τὸν χρυσὸν ἀποβλέπεις II$^{1}$ **20** προῶμαι] *scripsi*, πρόωμαι R

II[1]1411 /
K cap. Λ 3, 16

## *II[2]1898 / R cap. Λ 3, 10

Τοῦ αὐτοῦ·

Λιμὸς ἀνθρωπίνων συμφορῶν ὑπάρχει τὸ κεφάλαιον· πάντων θανάτων μοχθηρότερον τέλος οὗτος. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων κινδύνων, ἢ ξίφους ἀκμὴ τὴν τελευτὴν ὀξέως ἐφίστησιν, ἢ πυρὸς ὀργὴ συντόμως τὸ ζῆν ἀποσβέννυσι. Λιμὸς δὲ ἀργὸν ἔχει τὸ κακόν, παρέλκουσαν τὴν ἀλγηδόνα, ἐγκαθημένην τὴν νόσον καὶ ἐμφωλεύουσαν, θάνατον ἀεὶ παρόντα καὶ ἀεὶ βραδύνοντα. Τὸ γὰρ τοῦ λιμοῦ πάθος κατηνάγκασε πολλοὺς πολλάκις καὶ τοὺς ὅρους κινῆσαι τῆς φύσεως, καὶ ἅψασθαι μὲν ἀνθρώπων τῶν ὁμοφύλων σωμάτων, μητέρα δὲ παῖδα ὃν ἐκ τῆς γαστρὸς προήγαγε, πάλιν τῇ γαστρὶ κακῶς ὑποδέξασθαι. Καὶ τοῦτο τὸ δρᾶμα Ἰουδαϊκὴ ἐτραγῴδησεν ἱστορία.

## *II[2]1899 / R cap. Λ 3, 11

Τοῦ αὐτοῦ·

Ὁ πάντα πρὸς σωτηρίαν οἰκονομῶν κύριος ἐπάγει ποτὲ καὶ λιμὸν ἐπὶ συμφέροντι τῶν παιδαγωγουμένων. *Ἐκάκωσα* γάρ *σε*, φησί, *καὶ ἐλιμαγχόνησά σε, ἵνα εὖ σοι ποιήσω*. Εἰσὶ δὲ λιμῶν διαφοραί· αἱ μέν, εἰσὶ κατὰ ἐπίλειψιν σίτου μόνου γενόμεναι, αἱ δέ, καὶ κατὰ τῶν λοιπῶν ἀπορίαν τῶν ἐσθίεσθαι δυναμένων. Αὕτη ἐστὶν ἡ σκληρὰ λιμός, ὥστε διὰ τῆς ἐνδείας λύπην ἐμποιῆσαι, σωτηρίαν ἀμεταμέλητον ἐργάσασθαι δυναμένην.

---

**12 – 13** Καὶ – ἱστορία] cf. II[1]1415 / K cap. Λ 3, 20 **17 – 18** Deut. 8, 3 cum app. crit.

---

**3 – 6** ***II[2]1898** Λιμὸς – ἀποσβέννυσιν] Basilius Caesariensis, *Homilia dicta tempore famis et siccitatis*, 7 (PG 31, 321, 18–22) **6 – 8** Λιμὸς – βραδύνοντα] Ibid. (PG 31, 321, 24–27) **8 – 13** Τὸ – ἱστορία] Ibid. (PG 31, 321, 48 – 324, 5) **16 – 22** ***II[2]1899** Ps.-Basilius Caesariensis, *Enarratio in prophetam Isaiam*, VIII, 221 (PG 30, 501, 19–30)

---

**2 – 13** ***II[2]1898** R cap. Λ 3, 10 (202r[24]24–32); *deest in* T(lac.) H[III] **15 – 22** ***II[2]1899** R cap. Λ 3, 11 (202r[33]33–38); *deest in* T(lac.) H[III]

## *II$^{2}$1900 / R cap. Λ 3, 12

**II$^{1}$1412 / K cap. Λ 3, 17**

Τοῦ Θεολόγου, ἐκ τοῦ περὶ τῆς χαλάζης·

Τί ἐροῦσιν, οἱ σιτῶναι καὶ σιτοκάπηλοι, οἱ τηροῦντες τὰς τῶν καιρῶν δυσκολίας, ἵνα εὐπορήσωμεν καὶ ἀλλοτρίαις συμφοραῖς ἐντρυφήσωμεν καὶ κτησώμεθα, μὴ ὡς Ἰωσὴφ τὰ τῶν Αἰγυπτίων, ἐν οἰκονομίᾳ μείζονι – ἐκεῖνος γὰρ ᾔδει καὶ συναγαγεῖν καὶ σιτοδοτῆσαι καλῶς, ὥσπερ καὶ προγνῶναι τὸν λιμὸν καὶ στῆναι πρὸς αὐτόν –, ἀλλ᾽ ὡς παράνομοι <***>, οἱ λέγοντες· *Πότε διελεύσεται ὁ μήν, καὶ ἐμπολήσομεν, καὶ τὰ σάββατα, καὶ ἀνοίξομεν θησαυρούς;*, οἱ τοῖς δισσοῖς μέτροις καὶ σταθμοῖς τὸ δίκαιον διαφθείροντες, καὶ τὸ μολιβοῦν μέτρον τῆς ἀνομίας ἐφ᾽ ἑαυτοὺς κλίνοντες;

## *II$^{2}$1901 / R cap. Λ 3, 13

**II$^{1}$1413 / K cap. Λ 3, 18**

Τοῦ αὐτοῦ, εἰς Βασίλειον·

Χαλεπώτατον ἐστὶν ἐν τοῖς λιμοῖς ἡ τῶν ἐχόντων ἀναλγησία καὶ ἀπληστία. Τηροῦσι γὰρ τοὺς καιρούς, καὶ καταπραγματεύονται τὴν ἔνδειαν, καὶ γεωργοῦσι τὰς συμφοράς, οὔτε τῷ κυρίῳ *δανείζειν τὸν ἐλεοῦντα πτωχοὺς* ἀκούοντες, οὐδ᾽ ὅτι *ὁ συνέχων σῖτον δημοκατάρατος*, οὐδὲ ἄλλο οὐδὲν ἢ τοῖς φιλανθρώποις ἐπηγγελμένον ἢ τοῖς ἀπανθρώποις ἠπειλημένον, ἀλλ᾽ εἰσὶ τοῦ δέοντος ἀπληστότεροι, καὶ φρονοῦσι κακῶς, ἐκείνοις μὲν τὰ ἑαυτῶν, ἑαυτοῖς δὲ τὰ τοῦ θεοῦ σπλάγχνα κλείοντες, οὗ καὶ μᾶλλον χρήζοντες ἀγνοοῦσιν ἢ αὐτῶν ἕτεροι. Ταῦτα μὲν οἱ σιτῶναι καὶ σιτοκά-

---

**5 – 8** ὡς – αὐτόν] cf. Gen. 41, 25–36 et 48–57 **8 – 10** Am. 8, 5 **16 – 17** τῷ – πτωχοὺς] Prov. 19, 17$^{1}$ **17 – 18** ὁ – δημοκατάρατος] Ibid. 11, 26$^{2}$ La (cf. II$^{1}$1401 / K cap. Λ 3, 6)

---

**3 – 11** ***II$^{2}$1900** GREGORIUS NAZIANZENUS, *De grandine, in patrem tacentem (Orat. 16)*, 19 (PG 35, 960, 24–36) **14 – 844, 2** ***II$^{2}$1901** GREGORIUS NAZIANZENUS, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 34, 21–33 (ed. Bernardi, p. 200–202)

---

**2 – 11** ***II$^{2}$1900** R cap. Λ 3, 12 (202r[38–39]39–202v6); *deest in* T$^{(lac.)}$ H$^{III}$ **13 – 844, 2** ***II$^{2}$1901** R cap. Λ 3, 13 (202v[7]7–16); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**4** εὐπορήσωμεν] *scripsi (ed.)*, ἐμπορήσωμεν R **5** κτησόμεθα R$^{p.c.}$ **8** *post* παράνομοι *quaedam excidisse videntur (*τὰ τῶν ὁμοφύλων II$^{1}$ *et ed.)*

πηλοι, καὶ μήτε τὸ συγγενὲς αἰδούμενοι, μήτε περὶ τὸ θεῖον εὐχάριστοι, παρ᾽ οὗ τὸ ἔχειν αὐτοῖς, ἄλλων πιεζομένων.

II$^1$1414 / K cap. Λ 3, 19

## *II$^2$1902 / R cap. Λ 3, 14

Ἰωσήππου, περὶ ἁλώσεως·

Πάντα ὑπ᾽ ὀδόντας ἦγεν ἡ ἀνάγκη, καὶ τὰ μὴ δὲ τοῖς ῥυπαρωτάτοις τῶν ζώων πρόσφορα συλλέγοντες, ἐσθίειν ὑπέφερον· ζωστηρίων γοῦν καὶ ὑποδημάτων τοτελευταῖον οὐκ ἀπέσχοντο, καὶ τὰ δέρματα τῶν θυρεῶν ἀποδέροντες ἐμασσῶντο.

---

**5 – 8 *II$^2$1902** Flavius Iosephus, *De bello Iudaico*, VI, 197 (ed. Destinon/Niese, VI, p. 538, 16–19)

---

**4 – 8 *II$^2$1902** R cap. Λ 3, 14 (202v[16]16–19); *deest in* T$^{(lac.)}$ H$^{III}$

## Τίτλος δʹ Περὶ λύπης καὶ λυπουμένων καὶ πενθούντων· οὐ καλὸν δὲ τὸ ὑπὲρ μέτρον.

**II$^1$ / K cap. Λ 4**

### *II$^2$1903 / R cap. Λ 4, 1

Παροιμιῶν·

Ἀνδρὸς λυπηροῦ ξηραίνεται ὀστᾶ.

### *II$^2$1904 / R cap. Λ 4, 2

Τῶν αὐτῶν·

Μύροις καὶ οἴνοις καὶ θυμιάμασι τέρπεται καρδία,
καταρρήγνυται δὲ ὑπὸ συμπτωμάτων ψυχή.

### *II$^2$1905 / R cap. Λ 4, 3

**II$^1$1417 / K cap. Λ 4, 1**

Τῶν αὐτῶν·

Μὴ δῷς εἰς λύπην τὴν ψυχήν σου,
καὶ μὴ θλίψῃς σεαυτὸν ἐκ βουλῆς σου.
Λύπην μακρὰν ἀπόστησον ἀπὸ σοῦ·
πολλοὺς γὰρ ἀπέκτεινεν ἡ λύπη,
καὶ οὐκ ἔστιν ὄφελος ἐν αὐτῇ.

---

**5** ***II$^2$1903** Prov. 17, 22$^2$ (Wahl, *Proverbien-Text*, p. 88 – 89) **8 – 9** ***II$^2$1904** Prov. 27, 9$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 88 – 89) **12 – 13** ***II$^2$1905** Μὴ – σου] Prov., re vera Sir. 30, 21$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 129) **14 – 16** Λύπην – αὐτῇ] Ibid. 30, 23$^{2-4}$ (Wahl, p. 129)

---

**1 – 2** **Titlos** R (202v20); *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III}$ **4 – 5** ***II$^2$1903** R cap. Λ 4, 1 (202v[20]21); *deest in* T$^{(lac.)}$ H$^{III}$ **7 – 9** ***II$^2$1904** R cap. Λ 4, 2 (202v[21]21–22); *deest in* T$^{(lac.)}$ H$^{III}$ **11 – 16** ***II$^2$1905** R cap. Λ 4, 3 (202v[22]22–24); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* R$^{pin}$

II$^1$1418 / K cap. Λ 4, 2

## *II$^2$1906 / R cap. Λ 4, 4

<***>

Ἀπὸ λύπης ἐκβαίνει θάνατος,
καὶ λύπη καρδίας κάμπτει ἰσχύν.
Μὴ δῷς εἰς λύπην καρδίαν σου,
ἀπόστησον αὐτήν, μνησθεὶς τὰ ἔσχατα.
Μὴ ἐπιλάθῃ· οὐ γάρ ἐστιν ἐπάνοδος,
καὶ τὸν νεκρὸν οὐκ ὠφελήσεις καὶ σεαυτὸν κακώσεις.
Μνήσθητι τὸ κρῖμα μου, ὅτι οὕτως καὶ τὸ σόν·
ἐμοὶ χθὲς καὶ σοὶ σήμερον.
Ἐν ἀναπαύσει νεκροῦ κατάπαυσον τὸ μνημόσυνον αὐτοῦ,
καὶ παρακλήθητι ἐν ἐξόδῳ πνεύματος αὐτοῦ.

II$^1$1420 / K cap. Λ 4, 4

## *II$^2$1907 / R cap. Λ 4, 5

Πρὸς Κορινθίους δευτέρας·

Ἡ κατὰ θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται, ἡ δὲ τοῦ κόσμου λύπη θάνατον προξενεῖ.

---

**3 – 4** Ἀπὸ – ἰσχύν] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 28.4./4. (ed. Ihm, p. 608–609)

---

**3 – 4** ***II$^2$1906** Ἀπὸ – ἰσχύν] Sir. 38, 18$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 151) **5 – 12** Μὴ – αὐτοῦ] Ibid. 38, 20$^1$–23$^2$ (Wahl, p. 151–152) **15 – 16** ***II$^2$1907** II Cor. 7, 10

---

**2 – 12** ***II$^2$1906** R cap. Λ 4, 4 (202v24–29); *deest in* T$^{(lac.)}$ H$^{III}$ **14 – 16** ***II$^2$1907** R cap. Λ 4, 5 (202v[29]30–31); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$1906** *s. d.* R

## *II²1908 / R cap. Λ 4, 6

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ εὐχαριστίας·

Τῶν λυπουμένων ὕπωχρος καὶ πελιδνὸς τοῦ σώματος ὁ ὄγκος. Ὅθεν ὡς ἐκ πληγῆς τινὸς τῆς προσβολῆς τοῦ ἀβουλήτου τὴν ψυχὴν τύπτοντος καὶ συστέλλοντος, καταθλιβουμένου τοῦ περὶ καρδίαν αἵματος, τὸ δάκρυον ἀποτίκτεσθαι πέφυκεν.

## *II²1909 / R cap. Λ 4, 7

Τοῦ αὐτοῦ·

Ὅπερ ἐπὶ τῆς φλογὸς ὁρᾶν ὑπάρχει, ὑπὸ τοῦ οἰκείου καπνοῦ καταπνίγεσθαι, μὴ ὑπεξιόντος, ἀλλὰ περὶ αὐτὴν εἱλουμένου, τοῦτο φασὶ καὶ ἐπὶ τῆς οἰκονομούσης τὸ ζῶον δυνάμεως ἐκ τῆς σφοδρᾶς λύπης γίνεσθαι, ἀπομαραίνεσθαι ἀπὸ τῶν ὀδυνηρῶν καὶ κατασβέννυσθαι, μηδεμιᾶς γενομένης ἐπὶ τὸ ἔξω διαπνοῆς.

## *II²1910 / R cap. Λ 4, 8

Τοῦ αὐτοῦ·

Ὥσπερ οἱ ἀσθενεῖς τὰ ὄμματα, τῶν ἄγαν λαμπρῶν τὰς ὄψεις ἀπάγοντες, ἄνθεσι καὶ πόαις προσαναπαύουσιν, οὕτω χρὴ καὶ τὴν ψυχὴν μὴ συνεχῶς καταβλέπειν τὸ λυπηρόν, μὴ δὲ τοῖς παροῦσιν ἀνιαροῖς προσκεῖσθαι, ἀλλὰ πρὸς τὴν θεωρίαν τῶν ὄντως ἀγαθῶν περιάγειν αὐτῆς τὸ ὄμμα.

---

**3** ***II²1908** Τῶν – ὄγκος] Basilius Caesariensis, *Homilia de gratiarum actione*, 4 (PG 31, 225, 28–29) **4 – 6** Ὅθεν – πέφυκεν] Ibid. (PG 31, 225, 22–25) **9 – 13** ***II²1909** Basilius Caesariensis, *Homilia de gratiarum actione*, 5 (PG 31, 229, 20–26) **16 – 20** ***II²1910** Basilius Caesariensis, *Homilia de gratiarum actione*, 7 (PG 31, 236, 18–24)

---

**2 – 6** ***II²1908** R cap. Λ 4, 6 (202v[31]31–34); *deest in* T(lac.) H[III] **8 – 13** ***II²1909** R cap. Λ 4, 7 (202v[34]35–39); *deest in* T(lac.) H[III] **15 – 20** ***II²1910** R cap. Λ 4, 8 (202v[39]39–203r3); *deest in* T(lac.) H[III]

---

**3** ὕπωχρος] *scripsi*, ὕποχρως R

# Στοιχεῖον Μ

II[1] / K cap. M 1 **Τίτλος α′ Περὶ μεθυστῶν καὶ ἀσώτων.**

II[1]1432 / K cap. M 1, 1

## *II[2]1911 / R cap. M 1, 1

Τῆς Ἐξόδου·

Ἀκούσας δὲ Ἰησοῦς τὴν φωνὴν τοῦ λαοῦ κραζόντων, λέγει πρὸς Μωϋσῆν· Φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ. Καὶ εἶπε Μωϋσῆς· Οὐκ ἔστι φωνὴ ἐξ ἀρχόντων κατ᾽ ἰσχύν, οὐδὲ φωνὴ ἐξ ἀρχόντων τροπῆς, ἀλλὰ φωνὴν ἐξ ἀρχόντων οἴνου ἐγὼ ἀκούω.

II[1]1435 / K cap. M 1, 4

## *II[2]1912 / R cap. M 1, 2

Παροιμιῶν·

Μὴ ἴσθι οἰνοπότης·
πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει.

---

**11 – 12** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 30.4./4. (ed. Ihm, p. 626); cf. etiam *II[2]1915 / R cap. M 1, 5

---

**5 – 8** ***II[2]1911** Ex. 32, 17–18 **11** ***II[2]1912** Μὴ – οἰνοπότης] Prov. 23, 20[1] (Wahl, *Proverbien-Text*, p. 110) **12** πᾶς – πτωχεύσει] Ibid. 23, 21[1] (Wahl, p. 110)

---

**1 Stoicheion** $R^{txt}$ (203r4) $R^{pin}$ $A^{III\ pin}$; *deest in* $T^{(lac.)}$ $H^{III}A^{III\ txt}$ **2 Titlos** R (203r4) (*cf.* $PML^{b}$ cap. M 1 titlos [II[1] / K cap. M 1 titlos (c)]); *deest in* $T^{(lac.)}$ $H^{III}A^{III}$ **4 – 8** ***II[2]1911** R cap. M 1, 1 (203r[4]5–8); *deest in* $T^{(lac.)}$ $H^{III}$ **10 – 12** ***II[2]1912** R cap. M 1, 2 (203r[8]8–9); *deest in* $T^{(lac.)}$ $H^{III}$

---

**1** Μ] μῦ R, *add.* βιβλίον γ′ $A^{III\ pin}$ **2** α′] *iterav.* $R^{pin}$ καὶ ἀσώτων] *om.* $R^{txt}$

---

7 ἐξ ἀρχόντων[1]] ἐξαρχόντων R

## *II$^2$1913 / R cap. M 1, 3

**II$^1$1436 / K cap. M 1, 5**

<***>

Ὃς ἐστὶν ἡδὺς ἐν οἴνων διατριβαῖς,
ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν.

## *II$^2$1914 / R cap. M 1, 4

Τῶν αὐτῶν·

Ἀκόλαστον οἶνος καὶ ὑβριστικὸν μέθη,
πᾶς δὲ ἄφρων τοιούτοις συμπλέκεται.

## *II$^2$1915 / R cap. M 1, 5

**II$^1$1435 / K cap. M 1, 4**

Τῶν αὐτῶν·

Μὴ ἴσθι οἰνοπότης,
μὴ δὲ ἐκτείνου συμβολαῖς κρεῶν καὶ ἀγορασμοῖς·
πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύει,
καὶ ἐνδύεται διερρηγμένα καὶ ῥακώδη πᾶς ὑπνώδης.

---

**3 – 4** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 30.5./5. (ed. Ihm, p. 626–627) **11 – 13** Μὴ – πτωχεύει] cf. etiam *II$^2$1912 / R cap. M 1, 2 **11** Μὴ – οἰνοπότης] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 30.4./4. (ed. Ihm, p. 626) **13** πᾶς – πτωχεύει] exstat ibid. (p. 626)

---

**3 – 4 *II$^2$1913** Prov. 12, 11a$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 62) **7 *II$^2$1914** Ἀκόλαστον – μέθη] Prov. 20, 1$^1$ (Wahl, *Proverbien-Text*, p. 96) **8** πᾶς – συμπλέκεται] Ibid. 20, 3$^2$ (Wahl, p. 97) **11 – 14 *II$^2$1915** Prov. 23, 20$^1$–21$^2$ (Wahl, *Proverbien-Text*, p. 110)

---

**2 – 4 *II$^2$1913** R cap. M 1, 3 (203r9–10); *deest in* T$^{(lac.)}$ H$^{III}$ **6 – 8 *II$^2$1914** R cap. M 1, 4 (203r[10]10–11); *deest in* T$^{(lac.)}$ H$^{III}$ **10 – 14 *II$^2$1915** R cap. M 1, 5 (203r[11]11–14); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$1913** *s. d.* R

---

**4** καταλείψει] *scripsi* (*II$^2$2124 / R cap. O 12, 3 *et* II$^1$ *[sed cf. app. crit.])*, καταλήψει R

II¹1440 / K cap. M 1, 9

## *II²1916 / R cap. M 1, 6

Ἰωήλ·

Ἐκνήψατε, οἱ μεθύοντες ἀπὸ οἴνου, καὶ κλαύσατε· θρηνήσατε πάντες οἱ πίνοντες οἶνον εἰς μέθην, ὅτι ἐξῆρται ἐκ τοῦ στόματος ὑμῶν εὐφροσύνη καὶ χαρά.

II¹ 1443 / K cap. M 1, 12

## *II²1917 / R cap. M 1, 7

Σιράχ·

Ἐργάτης μέθυσος οὐ πλουτισθήσεται.

II¹1444 / K cap. M 1, 13

## *II²1918 / R cap. M 1, 8

Τοῦ αὐτοῦ·

Πικρία ψυχῆς οἶνος πινόμενος πολύς.

II¹1446 / K cap. M 1, 15

## *II²1919 / R cap. M 1, 9

Τοῦ αὐτοῦ·

Ὀργὴ μεγάλη γυνὴ μέθυσος.

---

**8** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 27.-./16c. (ed. Ihm, p. 598) **11** exstat ibid.

---

**3 – 5** ***II²1916** Ioel 1, 5 (Wahl, *Prophetenzitate*, p. 213) **8** ***II²1917** Sir. 19, 1¹ (Wahl, *Sirach-Text*, p. 97) **11** ***II²1918** Sir. 34, 29¹ (Wahl, *Sirach-Text*, p. 141) **14** ***II²1919** Sir. 26, 8¹ (Wahl, *Sirach-Text*, p. 115–116)

---

**2 – 5** ***II²1916** R cap. M 1, 6 (203r[14]14–16); *deest in* T^(lac.) H^III **7 – 8** ***II²1917** R cap. M 1, 7 (203r[16]16); *deest in* T^(lac.) H^III **10 – 11** ***II²1918** R cap. M 1, 8 (203r [16]17); *deest in* T^(lac.) H^III **13 – 14** ***II²1919** R cap. M 1, 9 (203r[17]17); *deest in* T^(lac.) H^III

---

**3** Ἐκνήψατε] *scripsi (*II¹*)*, ἐκνίψατε R

## *II$^{2}$1920 / R cap. M 1, 10

**II$^{1}$1449 / K cap. M 1, 18**

Τοῦ ἁγίου Βασιλείου, περὶ νηστείας·

Φύγωμεν μέθην, τὴν πάνδημον πόρνην, τὴν ἀναισχυντίας μητέρα, τὴν φιλογέλωτα, τὴν μαινάδα, τὴν πρὸς πᾶσαν ἀσχημοσύνης ἰδέαν εὔκολον· οὐ γὰρ γίνεται ἀγαθὸν τῇ ὑπὸ μέθης ῥυπωθείσῃ ψυχῇ.

## *II$^{2}$1921 / R cap. M 1, 11

**II$^{1}$1450 / K cap. M 1, 19**

Τοῦ αὐτοῦ, κατὰ μεθυόντων·

Μέθη αὐθαίρετός ἐστι δαίμων, ἐξ ἡδονῆς ταῖς ψυχαῖς ἐμβαλλόμενος· μέθη κακίας μήτηρ, ἀρετῆς ἐναντίωσις· τὸν ἀνδρεῖον δειλὸν ἀποδείκνυσι, τὸν σώφρονα ἀσελγῆ· δικαιοσύνην οὐκ οἶδεν, φρόνησιν ἀναιρεῖ· ὥσπερ τὸ ὕδωρ πολέμιον ἐστὶ πυρί, οὕτως ἀμετρία οἴνου λογισμὸν κατασβέννυσιν.

## *II$^{2}$1922 / R cap. M 1, 12

**II$^{1}$1459 / K cap. M 1, 28**

Τοῦ αὐτοῦ, εἰς τὸν Ἡσαΐαν·

Μέθη ἀθεότητος ἀρχή, σκότωσις οὖσα τοῦ ἡγεμονικοῦ, δι᾽ οὗ μάλιστα θεὸς ἐπιγινώσκεσθαι πέφυκεν.

---

**3 – 6** ***II$^{2}$1920** Basilius Caesariensis, *De ieiunio homilia II*, 4 (PG 31, 189, 30–35) **9 – 13** ***II$^{2}$1921** Basilius Caesariensis, *In ebriosos*, 2 (PG 31, 448, 7–12) **16 – 17** ***II$^{2}$1922** (Ps.-)Basilius Caesariensis, *Enarratio in prophetam Isaiam*, V, 157 (PG 30, 376, 21–23)

---

**2 – 6** ***II$^{2}$1920** R cap. M 1, 10 (203r[18]18–20); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 13** ***II$^{2}$1921** R cap. M 1, 11 (203r[mg]21–24); *deest in* T$^{(lac.)}$ H$^{III}$ **15 – 17** ***II$^{2}$1922** R cap. M 1, 12 (203r[mg]25–26); *deest in* T$^{(lac.)}$ H$^{III}$

II$^1$1458 / K cap. M 1, 27

## *II$^2$1923 / R cap. M 1, 13

Τοῦ αὐτοῦ·

Μέθη κύριον οὐχ᾽ ὑποδέχεται, πνεῦμα ἅγιον ἀποδιώκει. Καπνὸς μὲν γὰρ φυγαδεύει μελίσσας, χαρίσματα δὲ πνευματικὰ ἀποδιώκει κραιπάλη.

II$^1$1460 / K cap. M 1, 29

## *II$^2$1924 / R cap. M 1, 14

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου·

Τοῖς ἐν μέθῃ καὶ ἀκολασίᾳ βιοῦσιν ἡ ἡμέρα πρὸς τὸ τῆς νυκτὸς μεταστρέφεται σκότος, οὐ τοῦ ἡλίου σβεννυμένου, ἀλλὰ τῆς ἐκείνων διανοίας σκοτιζομένης τῇ μέθῃ.

II$^1$suppl. 347 / V cap. M 5, 29

## *II$^2$1925 / R cap. M 1, 15

Νείλου·

Ὁ τὸν μεθύοντα ἐπιχειρῶν νουθετεῖν, τί ἄρα ὠφελήσει;

II$^1$suppl. 348 / V cap. M 5, 30

## *II$^2$1926 / R cap. M 1, 16

Τοῦ αὐτοῦ·

Εἰ πειθαρχεῖς τῷ θείῳ Ἀποστόλῳ, διαρρήδην βοῶντι ὅτι *Μέθυσοι*

---

**3 – 5** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 30.9./9. (ed. Ihm, p. 628) **8 – 10** exstat ibid., 30.10./10. (p. 628–629) **16 – 853, 1** I Cor. 6, 10

---

**3 – 5** ***II$^2$1923** Basilius Caesariensis, *De ieiunio homilia I*, 11 (PG 31, 184, 19–21) **8 – 10** ***II$^2$1924** Iohannes Chrysostomus, *In Kalendas*, 3 (PG 48, 956, 58–61) **13** ***II$^2$1925** Nilus Monachus (Ancyranus), *Epistulae*, 4254 (quod attinet ad numerum, vide II$^1$suppl. 347 / V cap. M 5, 29), locus non repertus **16 – 853, 2** ***II$^2$1926** Nilus Monachus (Ancyranus?), locus non repertus

---

**2 – 5** ***II$^2$1923** R cap. M 1, 13 (203r[26]26–28); *deest in* T$^{(lac.)}$ H$^{III}$ **7 – 10** ***II$^2$1924** R cap. M 1, 14 (203r[28]29–31); *deest in* T$^{(lac.)}$ H$^{III}$ **12 – 13** ***II$^2$1925** R cap. M 1, 15 (203r[31]31–32); *deest in* T$^{(lac.)}$ H$^{III}$ **15 – 853, 2** ***II$^2$1926** R cap. M 1, 16 (203r[32]32–33); *deest in* T$^{(lac.)}$ H$^{III}$

οὐδαμῶς τεύξονται *βασιλείας* οὐρανῶν, φεῦγε τὴν ἐπάρατον μέθην.

**II$^{1}$ / V cap. M 11 (K cap. M 4)**

## Τίτλος β′ Περὶ μαθητευομένων, ὅτι χρὴ σπουδαίως ἐρωτᾶν καὶ μανθάνειν τὰ ψυχωφελῆ καὶ γνῶσιν πνευματικήν.

**II$^{1}$1486 / V cap. M 11, 1 (K cap. M 4)**

### *II$^{2}$1927 / R cap. M 2, 1

Τοῦ Δευτερονομίου·

Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι,
τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσι σοι.

### *II$^{2}$1928 / R cap. M 2, 2

Παροιμιῶν·

Ὁ κτώμενος φρόνησιν ἀγαπᾷ ἑαυτόν.

### *II$^{2}$1929 / R cap. M 2, 3

Σιράχ·

Λόγον καλὸν ἐὰν ἀκούσῃ ἐπιστήμων,
αἰνέσει αὐτὸν καὶ ἐπ’ αὐτὸν προσθήσει·
ἤκουσεν ὁ σπαταλῶν, καὶ ἀπήρεσεν αὐτῷ,
καὶ ἀπέστρεψεν αὐτὸν ὀπίσω αὐτοῦ.

---

**5 – 6** ***II$^{2}$1927** Deut. 32, 7$^{3-4}$ (Wahl, *Deuteronomium-Text*, p. 150) **9** ***II$^{2}$1928** Prov. 19, 8$^{1}$ (Wahl, *Proverbien-Text*, p. 94) **12 – 15** ***II$^{2}$1929** Sir. 21, 15$^{1-4}$ (Wahl, *Sirach-Text*, p. 104)

---

**1 – 2** **Titlos** R (203r35–36) (*cf.* PML$^{b}$ cap. M 2 titlos [II$^{1}$ / K cap. M 4 (V cap. M 11) titlos (c)]); *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III}$ **4 – 6** ***II$^{2}$1927** R cap. M 2, 1 (203r[36]37–38); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 9** ***II$^{2}$1928** R cap. M 2, 2 (203r[38]38); *deest in* T$^{(lac.)}$ H$^{III}$ **11 – 15** ***II$^{2}$1929** R cap. M 2, 3 (203r[38]38–40); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* R$^{pin}$

## *II$^2$1930 / R cap. M 2, 4

**II$^1$1493 / V cap. M 11, 8 (K cap. M 4)**

Τοῦ αὐτοῦ·

Τέκνον, ἐν νεότητί σου ἐπίλεξαι παιδείαν,
καὶ ὡς ἀροτριῶν καὶ σπείρων πρόσελθε αὐτῇ,
καὶ ἀνάμενε τοὺς ἀγαθοὺς καρποὺς αὐτῆς·
ἐν γὰρ τῇ ἐργασίᾳ αὐτῆς ὀλίγον κοπιάσας,
ταχὺ φάγεσαι τῶν γενημάτων αὐτῆς.

## *II$^2$1931 / R cap. M 2, 5

**II$^1$1494 / V cap. M 11, 9 (K cap. M 4)**

<***>

Ὡς τραχεῖα ἐστὶ παιδεία ἀσυνέτῳ,
καὶ οὐκ ἐμμένει ἐν αὐτῇ ἀκάρδιος·
ἀνίχνευσον αὐτὴν καὶ γνωσθήσεταί σοι,
καὶ ἐγκρατὴς γενόμενος, μὴ ἀφῇς αὐτήν·
ἐπ᾽ ἐσχάτων γὰρ εὑρήσεις τὴν ἀνάπαυσιν αὐτῆς·
καὶ στραφήσεταί σοι εἰς εὐφροσύνην,
καὶ ἔσονταί σοι αἱ πέδαι αὐτῆς εἰς σκέπην καὶ βάσιν ἰσχύος,
καὶ οἱ κλοιοὶ αὐτῆς εἰς στολὴν δόξης·
κόσμος χρύσεος ἐστὶν ἐπ᾽ αὐτῆς.
Ἐὰν θέλῃς, τέκνον, παιδευθήσῃ,
καὶ ἐὰν ἐπιδῷς τῇ ψυχῇ σου, συνετὸς ἔσῃ.

---

**3 – 5** Τέκνον – αὐτῆς] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 17.5./5. (ed. Ihm, p. 397–398)

---

**3** ***II$^2$1930** Τέκνον – παιδείαν] Sir. 6, 18$^1$ (Wahl, *Sirach-Text*, p. 60) **4 – 7** καὶ$^1$ – αὐτῆς] Ibid. 6, 19$^{1-4}$ (Wahl, p. 60–61) **10 – 11** ***II$^2$1931** Ὡς – ἀκάρδιος] Sir. 6, 20$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 61) **12 – 18** ἀνίχνευσον – αὐτῆς] Ibid. 6, 27$^1$–30$^1$ (Wahl, p. 61) **19 – 20** Ἐὰν – ἔσῃ] Ibid. 6, 32$^{1-2}$ (Wahl, p. 61)

---

**2 – 7** ***II$^2$1930** R cap. M 2, 4 (203r[40]40–203v3); *deest in* T$^{(lac.)}$ H$^{III}$ **9 – 20** ***II$^2$1931** R cap. M 2, 5 (203v3–9); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$1931** *s. a.* R

## *II$^2$1932 / R cap. M 2, 6

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ πρὸς τοὺς νέους·

Ἀμετάθετα πέφυκεν εἶναι τὰ τῶν νέων μαθήματα, δι᾽ ἁπλότητα τῶν ψυχῶν εἰς βάθος ἐνσημαινόμενα.

## *II$^2$1933 / R cap. M 2, 7

Φίλωνος, ἐκ <τοῦ περὶ> τῶν μετονομαζομένων·

Τῶν εἰς ἐπιστήμην ὠφελιμωτάτων ἔργων, ζητεῖν καὶ πυνθάνεσθαι κάλλιστον, μηδὲν δὲ δοκεῖν εἰδέναι μὴ δὲ οἴεσθαι κατειληφέναι καλλιστότερον.

**II$^1$1495 / V cap. M 11, 10 (K cap. M 4)**

## *II$^2$1934 / R cap. M 2, 8

Τοῦ αὐτοῦ·

Τὸ ζητεῖν καὶ πυνθάνεσθαι πρὸς διδασκαλίαν ἀνυσιμώτατον.

---

**3 – 4** ***II$^2$1932** Basilius Caesariensis, *Ad iuvenes (De legendis gentilium libris)*, V, 2, 3 – 5 (ed. Naldini, p. 94) **7 – 9** ***II$^2$1933** Philo Iudaeus, re vera *Quis rerum divinarum heres sit*, 18 (ed. Wendland, p. 5, 13 – 15) **12** ***II$^2$1934** Philo Iudaeus, *De animalibus*, 6 (ed. Aucher, p. 125 [arm. et lat.]; Terian, *Alexander…*, p. 88 – 89 [lat. et gall.]; Terian, *Philonis…*, p. 69 [angl.]); Harris, p. 11 = Terian, frg. gr. 2 (*Alexander…*, p. 217; *Philonis…*, p. 263)

---

**2 – 4** ***II$^2$1932** R cap. M 2, 6 (203v[9]9 – 10); *deest in* T$^{(lac.)}$ H$^{III}$ **6 – 9** ***II$^2$1933** R cap. M 2, 7 (203v[10]11 – 12); *deest in* T$^{(lac.)}$ H$^{III}$ **11 – 12** ***II$^2$1934** R cap. M 2, 8 (203v[12]13); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$1933** τοῦ περὶ] *supplevi*

---

7 ὠφελιμώτατον ἔργον *ed.*

## *II$^{2}$1935 / R cap. M 2, 9

II$^{1}$1496 / V cap. M 11, 11 (K cap. M 4)

Τοῦ αὐτοῦ·

Ὁ πεινῶν καὶ διψῶν ἐπιστήμης καὶ τοῦ μαθεῖν ἃ μὴ οἶδε, τὰς ἄλλας μεθιέμενος φροντίδας, ἐπείγεται πρὸς ἀκρόασιν, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν θυρωρεῖ τὰς τῶν σοφῶν οἰκίας.

## *II$^{2}$1936 / R cap. M 2, 10

Τοῦ αὐτοῦ·

Δεῖ τὸν μανθάνοντα πιστεῦσαι τῷ διδάσκοντι περὶ ὧν ὑφηγεῖται· δύσκολον γάρ, μᾶλλον δὲ ἀδύνατον ἀπειθοῦντα καὶ ἀντιλέγοντα παιδεύεσθαι ποτέ.

## *II$^{2}$1937 / R cap. M 2, 11

II$^{1}$1497 / V cap. M 11, 12 (K cap. M 4)

Διδύμου·

Τὸ εἰδέναι τινὰ ὅτι ἀγνοεῖ, σοφία<ς> ἐστίν, ὡς καὶ τὸ εἰδέναι ὅτι ἠδίκησε, δικαιοσύνης.

---

**13 – 14** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 17.13./14. et 49.13./56.14. (ed. Ihm, p. 401–402 et 814)

---

**3 – 5** ***II$^{2}$1935** Philo Iudaeus, *Quaestiones in Exodum*, II. 13b (ed. Petit, p. 248) **8 – 10** ***II$^{2}$1936** Philo Iudaeus, *De praemiis et poenis*, 49 (ed. Cohn, p. 347, 1–2) **13 – 14** ***II$^{2}$1937** Didymus Alexandrinus (?), locus non repertus; Philo Iudaeus (?), locus non repertus, Mangey 651.11, Harris 80.5, Royse 177.94 (Id., *Spurious Texts*, p. 39–40); Ps.-Clemens Alexandrinus, locus non repertus, X. Unechte Fragmente, 80 (ed. Stählin/Früchtel/Treu, p. XXXVI)

---

**2 – 5** ***II$^{2}$1935** R cap. M 2, 9 (203v[13]14–16); *deest in* T$^{(lac.)}$ H$^{III}$ **7 – 10** ***II$^{2}$1936** R cap. M 2, 10 (203v[16]16–18); *deest in* T$^{(lac.)}$ H$^{III}$ **12 – 14** ***II$^{2}$1937** R cap. M 2, 11 (203v[18]18–19); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**5** οἰκείας R$^{a. c.}$ **13** σοφίας ἐστίν] *scripsi*, σοφία ἐστίν R

## Τίτλος γʹ  Περὶ μισομαθῶν.

### *II²1938 / R cap. M 3, 1

Παροιμιῶν·

Ὁ παιδεύων κακοὺς λήψεται ἑαυτῷ ἀτιμίαν, ἐλέγχων δὲ τὸν ἀσεβῆ μωμήσεται <ἑ>αυτόν.

### *II²1939 / R cap. M 3, 2

Τῶν αὐτῶν·

Ὁ σκολιάζων τοῦ μαθεῖν ἐμπεσεῖται κακοῖς.

### *II²1940 / R cap. M 3, 3

Τῶν αὐτῶν·

Σοφίαν καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσιν.

---

**4 – 5** ***II²1938** Prov. 9, $7^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 47–48) **8** ***II²1939** Prov. 17, $16a^{2}$ (Wahl, *Proverbien-Text*, p. 87) **11** ***II²1940** Prov. 1, $7^{4}$ (Wahl, *Proverbien-Text*, p. 21)

---

**1 Titlos** R (203v20) $A^{III\,pin}$ (*cf. etiam* II suppl. / $PML^{b}$ cap. M $12^{M}$ titlos); *deest in* $T^{(lac.)}$ $H^{III}A^{III\,txt}$ **3 – 5** ***II²1938** R cap. M 3, 1 (203v[20]21–22); *deest in* $T^{(lac.)}$ $H^{III}$ **7 – 8** ***II²1939** R cap. M 3, 2 (203v[22]22); *deest in* $T^{(lac.)}$ $H^{III}$ **10 – 11** ***II²1940** R cap. M 3, 3 (203v[22]23); *deest in* $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* $R^{pin}$ $A^{III\,pin}$ γʹ] *propt. mg. resect. non liquet in* $A^{III\,pin}$ *(*αʹ *secund. ser.)*

---

**5** ἑαυτόν] *scripsi (LXX)*, αὐτόν R

## *II$^{2}$1941 / R cap. M 3, 4

<***>

Εἰς ὦτα ἄφρονος μηδὲν λέγε,
μήποτε μυκτηρίσῃ τοὺς συνετούς σου λόγους.

## *II$^{2}$1942 / R cap. M 3, 5

Σοφίας Σολομῶντος·

Σοφίαν καὶ παιδείαν ὁ ἐξουθενῶν ταλαίπωρος,
καὶ κενὴ ἡ ἐλπὶς αὐτοῦ, καὶ οἱ κόποι αὐτοῦ ἀνόνητοι,
καὶ ἄχρηστα τὰ ἔργα αὐτοῦ.

## *II$^{2}$1943 / R cap. M 3, 6

Ἀμώς·

Ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον ὅσιον ἐβδελύξαντο.

## *II$^{2}$1944 / R cap. M 3, 7

Σιράχ·

Μετὰ ἄφρονος μὴ πληθύνῃς λόγους.

---

**3 – 4** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 15.3./3. (ed. Ihm, p. 356) **15** exstat ibid., 53.5./60.5. (p. 852–853)

---

**3 – 4** ***II$^{2}$1941** Prov. 23, 9$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 109) **7 – 9** ***II$^{2}$1942** Sap. 3, 11$^{1-3}$ **12** ***II$^{2}$1943** Am. 5, 10 (Wahl, *Prophetenzitate*, p. 185–186) **15** ***II$^{2}$1944** Sir. 22, 13$^{1}$ (Wahl, *Sirach-Text*, p. 107)

---

**2 – 4** ***II$^{2}$1941** R cap. M 3, 4 (203v23–24); *deest in* T$^{(lac.)}$ H$^{III}$ **6 – 9** ***II$^{2}$1942** R cap. M 3, 5 (203v[24]24–26); *deest in* T$^{(lac.)}$ H$^{III}$ **11 – 12** ***II$^{2}$1943** R cap. M 3, 6 (203v[26]26–27); *deest in* T$^{(lac.)}$ H$^{III}$ **14 – 15** ***II$^{2}$1944** R cap. M 3, 7 (203v[27]27); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$1941** *s. d.* R

## *II²1945 / R cap. M 3, 8

Ματθαίου·

Ἐπηρώτησαν τὸν κύριον οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Διατί ἐν παραβολαῖς λαλεῖς τοῖς ὄχλοις; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσι· καὶ ἀναπληροῦται αὐτοῖς ἡ προφητεία Ἡσαΐου, ἡ λέγουσα· *Ἀκοῇ ἀκούσητε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψητε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι καὶ ἐπιστρέψωσι καὶ ἰάσομαι αὐτούς.*

## *II²1946 / R cap. M 3, 9

Τοῦ Σολομῶντος·

Οὐκ ἀγαπᾷ ἀπαίδευτος τοὺς ἐλέγχοντας αὐτόν.

## *II²1947 / R cap. M 3, 10

Κλήμεντος πάπα Ῥώμης·

Ἀπατώμενοι τινὲς ὑπὸ τῆς οἰκείας ἀφροσύνης, ἀκούειν τῶν θείων οὐκ ἐθέλουσι λόγων, ὑποτιθέμενοι ὅτι, ἐάν τις μὴ ἀκούσῃ τοῦ τῆς θεοσεβείας λόγου, οὐκ *ἔσται ἔνοχος τῇ κρίσει* διὰ τὴν ἄγνοιαν, οὐκ εἰδότες ὅτι ἡ ἄγνοια αὐτὴ καθ’ αὐτὴν θανάσιμόν ἐστι φάρμα-

---

**7 – 11** Is. 9, 6–10 **19** Matth. 5, 21 vel 22

---

**3 – 4** ***II²1945*** Ἐπηρώτησαν – αὐτοῖς] Matth. 13, 10–11 **5 – 11** Ὅτι – αὐτούς] Ibid. 13, 13–15 **14** ***II²1946*** re vera Prov. 15, 12[1] (Wahl, *Proverbien-Text*, p. 76) **17 – 861, 3** ***II²1947*** Ἀπατώμενοι – δεῖ] Ps.-Clemens Romanus, *Homilia* ι 12,2–3 (ed. Rehm†/Strecker, p. 146, 22 – 147, 1); Holl, n° 12, 1–8

---

**2 – 11** ***II²1945*** R cap. M 3, 8 (203v[28]28–35); *deest in* T(lac.) H^III **13 – 14** ***II²1946*** R cap. M 3, 9 (203v[35]36); *deest in* T(lac.) H^III **16 – 861, 5** ***II²1947*** R cap. M 3, 10 (203v[36]37–204r4); *deest in* T(lac.) H^III

---

**6** συνιοῦσι] *sic acc.* R **7** συνῆτε] *scripsi*, συνεῖτε R

κον. Οὐ γὰρ εἴ τις προσλάβοι αὐθαιρέτως θανασίμου φαρμάκου ἀγνοῶν, οὐκ ἀποθνήσκει. Οὕτω φυσικῶς αἱ ἁμαρτίαι ἀναιροῦσι τὸν ἁμαρτάνοντα· κἂν ἀγνοῶν πράσσῃ ἃ μὴ δεῖ, ἤδη ὡς εἰδὼς κατακρίνεται· ἔγνω γὰρ ὃ μὴ ἀκοῦσαι θέλει· ὥστε οὐδὲν δύναται πρὸς ἀπολογίαν ἐπίνοια πρὸς *καρδιογνώστην*.

## *II[2]1948 / R cap. M 3, 11

Τοῦ Θεολόγου, ἐκ τοῦ εἰς Βασίλειον·

Οὐκ ἀτιμαστέον τὴν παίδευσιν, ὅτι τοῦτο δοκεῖ τισίν, ἀλλὰ σκαιοὺς καὶ ἀπαιδεύτους ὑποληπτέον τοὺς οὕτως ἔχοντας.

## *II[2]1949 / R cap. M 3, 12

Φίλωνος, ἐκ τοῦ περὶ τῶν μετονομαζομένων·

Φυσικῶς μὴ προϋπαρχούσης τῷ μανθάνοντι εὐφυΐας, ἀνωφελῆ πάντα· δρυὸς γὰρ ἢ λίθου κωφῆς οὐδὲν ἂν δόξαιεν οἱ ἀφυεῖς διαφέρειν. Καλὸν γὰρ μάθημα οὐδὲν αὐτοῖς ἁρμόζεται, ἀπεστραμμένως διακειμένοις καὶ *τὰ ὦτα βύουσι*, πάντα δὲ ὡς ἀπὸ στερεοῦ τινὸς ἀντιπνέοντος πρὸς τὸ πνεῦμα.

---

**5** καρδιογνώστην] Act. 1, 24 vel 15, 8 **15** Ps. 57, 5[2]

---

**3 – 5** ἤδη – καρδιογνώστην] IBID., ι 13,1–2 (p. 147, 4–6); Holl, n° 12, 8–10 **8 – 9** ***II[2]1948** GREGORIUS NAZIANZENUS, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 11, 25–27 (ed. Bernardi, p. 138) **12 – 16** ***II[2]1949** PHILO IUDAEUS, *De mutatione nominum*, 211 (multis mutatis; ed. Wendland, p. 193, 1–4)

---

**7 – 9** ***II[2]1948** R cap. M 3, 11 (204r[4]5–6); *deest in* T(lac.) H[III] **11 – 16** ***II[2]1949** R cap. M 3, 12 (204r[6]7–10); *deest in* T(lac.) H[III]

II[1] / V cap. M 1 (K cap. M 3)

## Τίτλος δʹ Περὶ μυστηρίων, ὅτι προδοσία πρὸς θάνατον τὸ ἐκφερομυθεῖν τὰ φίλων μυστήρια.

II[1]1478 / V cap. M 1, 1 (K cap. M 3)

### *II[2]1950 / R cap. M 4, 1

Παροιμιῶν·

Ὁ ἀποκαλύπτων μυστήριον πορεύεται δόλῳ.

II[1]1479 / V cap. M 1, 2 (K cap. M 3)

### *II[2]1951 / R cap. M 4, 2

Τῶν αὐτῶν·

Ἀκήκοας λόγον; Συναποθανέτω σοι.

II[1]1480 / V cap. M 1, 3 (K cap. M 3)

### *II[2]1952 / R cap. M 4, 3

Σιράχ·

Ἀνελεήμων ὁ μὴ συντηρῶν λόγους,
καὶ οὐ φείσεται περὶ κακώσεως καὶ δεσμῶν.

---

**5** Ὁ – δόλῳ] cf. *II²1955 / R cap. M 4, 6

---

**5** ***II²1950** Ὁ – μυστήριον] Prov., re vera Sir. 27, 16¹ (Wahl, *Sirach-Text*, p. 119); cf. *II²1955 / R cap. M 4, 6 πορεύεται δόλῳ] cf. Lev. 19, 16; Ier. 9, 3 **8** ***II²1951** Prov., re vera Sir. 19, 10¹ (Wahl, *Sirach-Text*, p. 98) **11 – 12** ***II²1952** Sir. 13, 12¹⁻² (Wahl, *Sirach-Text*, p. 83)

---

**1 – 2** **Titlos** R (204r11–12); *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III}$ **4 – 5** ***II²1950** R cap. M 4, 1 (204r[12]13); *deest in* T$^{(lac.)}$ H$^{III}$ **7 – 8** ***II²1951** R cap. M 4, 2 (204r[13]13–14); *deest in* T$^{(lac.)}$ H$^{III}$ **10 – 12** ***II²1952** R cap. M 4, 3 (204r[14]14–15); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* R$^{pin}$

## *II$^{2}$1953 / R cap. M 4, 4

**II$^{1}$1481–1482 / V cap. M 1, 4–5 (K cap. M 3)**

Τοῦ αὐτοῦ·

Ἐνώπιον ἀλλοτρίου μὴ ποιήσῃς κρυπτόν·
οὐ γὰρ οἶδας τί τέξεται.
Παντὶ ἀνέμῳ οἷον ἀνθρώπῳ μὴ ἔκφαινε καρδίαν σου,
καὶ μὴ ἀναφερέτω σοι χάριν.

## *II$^{2}$1954 / R cap. M 4, 5

Τοῦ αὐτοῦ·

Μετὰ μωροῦ μὴ συμβουλεύου·
οὐ γὰρ δυνήσεται λόγον στέρξαι.

## *II$^{2}$1955 / R cap. M 4, 6

Τοῦ αὐτοῦ·

Ὁ ἀποκαλύπτων μυστήρια ἀπώλεσε πίστιν,
καὶ οὐ μὴ εὕρῃ φίλον πρὸς τὴν ψυχὴν αὐτοῦ.

---

**13** Ὁ – μυστήρια] cf. *II$^{2}$1950 / R cap. M 4, 1

---

**3 – 6** ***II$^{2}$1953** Sir. 8, $18^{1}$–$19^{2}$ (Wahl, *Sirach-Text*, p. 69) **9 – 10** ***II$^{2}$1954** Sir. 8, $17^{1-2}$ (Wahl, *Sirach-Text*, p. 69) **13 – 14** ***II$^{2}$1955** Sir. 27, $16^{1-2}$ (Wahl, *Sirach-Text*, p. 119); cf. *II$^{2}$1950 / R cap. M 4, 1

---

**2 – 6** ***II$^{2}$1953** R cap. M 4, 4 (204r[15]15–17); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 10** ***II$^{2}$1954** R cap. M 4, 5 (204r[17]17–18); *deest in* T$^{(lac.)}$ H$^{III}$ **12 – 14** ***II$^{2}$1955** R cap. M 4, 6 (204r[18]18–19); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**5** ἀνέμῳ οἷον] *an delenda (desunt in LXX)?*

## *II$^2$1956 / R cap. M 4, 7

Τωβίτ·

Μυστήριον βασιλέως κρύπτειν, καλόν, ἔργα δὲ θεοῦ ἀναγγέλλειν, ἔνδοξον.

**II$^1$1483 / V cap. M 1, 6 (K cap. M 3)**

## *II$^2$1957 / R cap. M 4, 8

Τοῦ Χρυσοστόμου, εἰς τὴν ἀποδημίαν τοῦ ἐπισκόπου·

Ὁ κατέχων τὸν λόγον ἐν ἀσφαλείᾳ πολλῇ, μετὰ πολλῆς βιώσεται τῆς ἡδονῆς.

**II$^1$1484 / V cap. M 1, 7 (K cap. M 3)**

## *II$^2$1958 / R cap. M 4, 9

Τοῦ αὐτοῦ·

*Ἤκουσας λόγον*; φησίν, *Συναποθανέτω σοι*· σβέσον αὐτόν, κατάχωσον, μὴ συγχωρήσῃς ἐξελθεῖν, μὴ δὲ κινηθῆναι παράπαν. Ἀπόκτεινον τὸ λεχθέν, λήθῃ παράδος, ἵνα τοῖς οὐκ ἀκούσασιν ὅμοιος γένῃ.

---

**11 – 14** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 20.11./11. (ed. Ihm, p. 485) **11** Sir. 19, 10$^1$

---

**3 – 4** ***II$^2$1956** Tob. 12, 7 **7 – 8** ***II$^2$1957** Iohannes Chrysostomus, *Ad populum Antiochenum*, III *(In profectionem episcopi Flaviani)*, 5 (PG 49, 54, 62 – 55, 2) **11 – 12** ***II$^2$1958** Ἤκουσας – παράπαν] Iohannes Chrysostomus, *Ad populum Antiochenum*, III *(In profectionem episcopi Flaviani)*, 5 (PG 49, 55, 3–6) **12 – 14** Ἀπόκτεινον – γένῃ] Ibid. (PG 49, 55, 8–9)

---

**2 – 4** ***II$^2$1956** R cap. M 4, 7 (204r[19]20); *deest in* T$^{(lac.)}$ H$^{III}$ **6 – 8** ***II$^2$1957** R cap. M 4, 8 (204r[20]21); *deest in* T$^{(lac.)}$ H$^{III}$ **10 – 14** ***II$^2$1958** R cap. M 4, 9 (204r[22]22–24); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$1956** Τωβίτ] *scripsi*, τωβήτ R

## *II²1959 / R cap. M 4, 10

**II¹1485 / V cap. M 1, 8 (K cap. M 3)**

Φίλωνος·

Οἱ λάλοι τὰ ὀφείλοντα ἡσυχάζεσθαι ῥηγνύντες τρόπον τινὰ ὑπὸ γλωσσαλγίας, προχέουσιν εἰς ὦτα ἀκοῆς οὐκ ἄξια.

---

**3 – 4 *II²1959** PHILO IUDAEUS, *Quaestiones in Exodum*, II. 118 (ed. Petit, p. 278)

---

**2 – 4 *II²1959** R cap. M 4, 10 (204r[24]24–26); *deest in* T^(lac.) H^III

## Τίτλος ε′ Περὶ μάχης καὶ τῶν ἐν μάχαις συμβαινόντων.

### *II$^{2}$1960 / R cap. M 5, 1

Τῆς Ἐξόδου·

Ἐὰν λοιδορῶνται δύο ἄνδρες, καὶ πατάξῃ τίς τὸν πλησίον λίθῳ ἢ πυγμῇ, καὶ <μὴ> ἀποθάνῃ, κατακλιθῇ δὲ ἐπὶ τὴν κοίτην αὐτοῦ, ἐὰν δὲ ἀναστὰς ὁ ἄνθρωπος περιπατήσῃ ἔξω ῥάβδῳ, ἀθῷος ἔσται ὁ πατάξας· πλὴν τῆς ἀργίας αὐτοῦ καὶ τὰ ἰατρεῖα ἀποτίσει.

### *II$^{2}$1961 / R cap. M 5, 2

Τοῦ Δευτερονομίου·

Ἐὰν μάχωνται δύο ἄνθρωποι ἐπιτοαυτό, ἄνθρωπος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ προσελθοῦσα γυνὴ ἑνὸς ἐξ αὐτῶν ἐξελέσθαι τὸν ἄνδρα αὐτῆς ἐκ χειρὸς τοῦ τύπτοντος αὐτόν, καὶ ἐκτείνασα τὴν χεῖρα αὐτῆς ἐπιλάβηται τῶν διδύμων αὐτοῦ, ἀποκόψεις τὴν χεῖρα αὐτῆς· οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ᾽ αὐτήν.

### *II$^{2}$1962 / R cap. M 5, 3

Παροιμιῶν·

Μὴ ἐπίχαιρε καὶ μὴ πρόσπιπτε εἰς μάχην ταχέως,
ἵνα μὴ μεταμεληθῇς ἐπ᾽ ἐσχάτων.

---

**4 – 7** ***II$^{2}$1960** Ex. 21, 18–19 **10 – 14** ***II$^{2}$1961** Deut. 25, 11–12 (Wahl, *Deuteronomium-Text*, p. 143) **17 – 18** ***II$^{2}$1962** Prov. 25, 8$^{1–2}$ (Wahl, *Proverbien-Text*, p. 123)

---

**1** **Titlos** R (204r27) A$^{\text{III pin}}$; *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$A$^{\text{III txt}}$ **3 – 7** ***II$^{2}$1960** R cap. M 5, 1 (204r[27]28–31); *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$ **9 – 14** ***II$^{2}$1961** R cap. M 5, 2 (204r[31]31–35); *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$ **16 – 18** ***II$^{2}$1962** R cap. M 5, 3 (204r[35]35–36); *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$

---

**1** Τίτλος] *om.* A$^{\text{III pin}}$ R$^{\text{pin}}$ ε′] β′ A$^{\text{III pin}}$

---

**5** μὴ] *supplevi (*II$^{1}$2231 / K cap. Φ 5, 4 *et LXX)*, *om.* R

## *II$^{2}$1963 / R cap. M 5, 4

Τῶν αὐτῶν·

Φιλαμαρτήμων χαίρει μάχαις.

## *II$^{2}$1964 / R cap. M 5, 5

Σιράχ·

Ἀπόσχου ἀπὸ μάχης, καὶ ἐλαττώσεις ἀπὸ ἁμαρτίας.

## *II$^{2}$1965 / R cap. M 5, 6

Τοῦ αὐτοῦ·

Μετὰ θυμώδους μὴ ποιήσῃς μάχην,
καὶ μὴ διαπορεύου μετ᾿ αὐτοῦ εἰς τὴν ἔρημον,
ὅτι οὐθὲν ἐν ὀφθαλμοῖς αὐτοῦ αἷμα,
καὶ ὅπου οὐκ ἔστι βοήθεια, καταβαλεῖ σε.

## *II$^{2}$1966 / R cap. M 5, 7

Τοῦ αὐτοῦ·

Περὶ πράγματος, οὗ οὐκ ἔστι σοι χρεία, μὴ ἔριζε.

---

**3 *II$^{2}$1963** Prov. 17, 19 (Wahl, *Proverbien-Text*, p. 88) **6 *II$^{2}$1964** Sir. 28, $8^{1}$ (Wahl, *Sirach-Text*, p. 122) **9 – 12 *II$^{2}$1965** Sir. 8, $16^{1-4}$ (Wahl, *Sirach-Text*, p. 69) **15 *II$^{2}$1966** Sir. 11, $9^{1}$ (Wahl, *Sirach-Text*, p. 76–77)

---

**2 – 3 *II$^{2}$1963** R cap. M 5, 4 (204r[36]37); *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$ **5 – 6 *II$^{2}$1964** R cap. M 5, 5 (204r[37]37–38); *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$ **8 – 12 *II$^{2}$1965** R cap. M 5, 6 (204r[38]38–40); *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$ **14 – 15 *II$^{2}$1966** R cap. M 5, 7 (204r[40]40); *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$

## Τίτλος ϛʹ Περὶ μεταχειριζομένων καὶ μεταβαλλόντων τοὺς ταρασσομένους καὶ τεθυμωμένους καὶ ἐξηγριωμένους ἀφρόνως.

### *II$^{2}$1967 / R cap. M 6, 1

Παροιμιῶν·

Θυμὸν ἀνδρὸς πραΰνει θεράπων φρόνιμος.

### *II$^{2}$1968 / R cap. M 6, 2

Τοῦ αὐτοῦ·

Θυμὸς βασιλέως ἄγγελος θανάτου,
ἀνὴρ δὲ σοφὸς ἐξιλάσκεται αὐτόν.

### *II$^{2}$1969 / R cap. M 6, 3

<Σχόλιον·>

Ἀνάγνωθι εἰς τὸ Κ στοιχεῖον τὸν Περὶ καλοήθων τίτλον, καὶ εὑρήσεις παραπλήσια.

---

**5** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 66.-./37.3a. (ed. Ihm, p. 969) **8 – 9** exstat ibid., 19.5./5. (p. 459) **12** Περὶ καλοήθων] cf. *II$^{2}$1777–1784 / R cap. K 11, 1–8

---

**5** ***II$^{2}$1967** Prov. 18, 14$^{1}$ (Wahl, *Proverbien-Text*, p. 91) **8 – 9** ***II$^{2}$1968** Prov. 16, 14$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 81) **12 – 13** ***II$^{2}$1969** *Scholion*

---

**1 – 2 Titlos** R (204v1–2) A$^{III\ pin}$ (*cf. etiam* II suppl. / PML$^{b}$ cap. M 13$^{M}$ titlos); *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III\ txt}$ **4 – 5** ***II$^{2}$1967** R cap. M 6, 1 (204v[2]3); *deest in* T$^{(lac.)}$ H$^{III}$ **7 – 9** ***II$^{2}$1968** R cap. M 6, 2 (204v[3]3–4); *deest in* T$^{(lac.)}$ H$^{III}$ **11 – 13** ***II$^{2}$1969** R cap. M 6, 3 (204v4–5); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* A$^{III\ pin}$ R$^{pin}$ ϛʹ] *propt. mg. resect. non liquet in* A$^{III\ pin}$ *(*γʹ *secund. ser.)* μεταβαλλόντων] μεταβαλόντων R$^{pin}$ **2** καὶ τεθυμωμένους] *om.* A$^{III\ pin}$ ἀφρόνως] *om.* A$^{III\ pin}$ R$^{pin}$

---

***II$^{2}$1969** Σχόλιον] *supplevi*, *s. a.* R

**Τίτλος ζʹ Περὶ μαντευομένων καὶ οἰωνιζομένων καὶ κληδονιζομένων, [καὶ περὶ τῶν λεγομένων θεῶν, τουτέστι βδελυγμάτων,] ὅτι ἄθεσμα καὶ ἐκκήρυκτα καὶ ἀπηγορευμένα τῇ ἱερᾷ Γραφῇ τάδε πάντα καὶ τὰ ὅμοια.**

### [*II$^2$1970 / R cap. Μ 7, 1]

Σοφίας Σολομῶντος·

Μάταιοι πάντες ἄνθρωποι, οἷς παρῆν θεοῦ ἀγνωσία,
καὶ ἐκ τῶν ὁρωμένων ἀγαθῶν οὐκ ἴσχυσαν εἰδέναι τὸν ὄντα,
οὔτε τοῖς ἔργοις προσέχοντες ἐπέγνωσαν τὸν τεχνίτην,
ἀλλ' ἢ πῦρ ἢ πνεῦμα ἢ ταχινὸν ἀέρα
ἢ κύκλον ἀστέρων ἢ βίαιον ὕδωρ
ἢ φωστῆρας οὐρανοῦ, πρυτάνεις κόσμου θεοὺς ἐνόμισαν.
Ὧν εἰ μὲν τῇ καλλονῇ τερπόμενοι, ταῦτα ὑπελάμβανον,
γνώτωσαν πόσῳ μᾶλλον ὁ τούτων δεσπότης ἐστὶ καλλίων·
ὁ γὰρ τοῦ κόσμου γενεσιάρχης ἔκτισε ταῦτα·
εἰ δὲ δύναμιν καὶ ἐνέργειαν ἐκπλαγέντες,
νοησάτωσαν ἀπ' αὐτῶν πόσῳ ὁ κατασκευάσας αὐτὰ δυνατώτερος
[ἐστίν·
ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων
ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται.
Ταλαίπωροι δέ, καὶ ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν,
οἵτινες ἐκάλεσαν θεοὺς ἔργα χειρῶν ἀνθρώπων,
χρυσὸν καὶ ἄργυρον, τέχνης ἐμμελετήματα,
καὶ ἀπεικάσματα ζώων ἢ λίθων ἀχρήστων.

---

**7 – 20** ***II$^2$1970** Μάταιοι – θεωρεῖται] Sap. 13, $1^1$–$5^2$ **21 – 24** Ταλαίπωροι – ἀχρήστων] Ibid. 13, $10^{1-5}$

---

**1 – 4** **Titlos** R (204v6–7) $A^{III\,pin}$; *deest in* $T^{(lac.)}$ $H^{III}A^{III\,txt}$ **6 – 24** ***II$^2$1970** R cap. Μ 7, 1 (204v[mg]8–18); *deest in* $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* $A^{III\,pin}$ $R^{pin}$ ζʹ] *propt. mg. resect. non liquet in* $A^{III\,pin}$ *(δʹ secund. ser.)* **1 – 2** καὶ κληδονιζομένων] *om.* $A^{III\,pin}$ **2 – 3** καὶ – βδελυγμάτων] *seclusi secund.* $A^{III\,pin}$, *add.* R (*cf.* V cap. Β 5 titlos *et* T cap. Β 12 titlos) **3** ἐκκήρυκτα] ἐκήρυκτα $R^{txt}$ **4** τάδε] ταῦτα $R^{pin}$

---

**6 – 24** Σοφίας – ἀχρήστων] *delenda videntur (cf.* $PML^b$ cap. Β $9^M$ / $7^P$, 6*)* **24** λίθων ἀχρήστων] λίθον ἄχρηστον *LXX*

## [*II$^{2}$1971 / R cap. M 7, 2]

Τοῦ αὐτοῦ·

Τὸ χειροποίητον ἐπικατάρατον, καὶ ὁ ποιήσας αὐτό,
ὅτι ὁ μὲν εἰργάσατο, τὸ δέ, θεὸν φθαρτὸν ὠνόμασεν.
Ἐν ἴσῳ μισητὰ θεῷ, καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτοῦ·
καὶ γὰρ τὸ πραχθὲν σὺν τῷ δράσαντι ἐξολοθρευθήσεται.

## [*II$^{2}$1972 / R cap. M 7, 3]

Τοῦ αὐτοῦ·

Κριτὴς ὁ πηλουργός.
Καὶ ὁ κακόμοχθος θεὸν μάταιον ἐκ τοῦ αὐτοῦ πλάσσει πηλοῦ·
ὃς πρὸ μικροῦ ἐκ γῆς γεννηθείς,
μετὰ ὀλίγον πορεύσεται ἐξ ἧς ἐλήφθη,
τὸ τῆς ψυχῆς ἀπαιτηθεὶς χρέος.
Ἀλλ᾽ ἔστιν αὐτῷ φροντὶς οὐχ᾽ ὅτι μέλλει <***>,
οὐχ᾽ ὅτι βραχὺν βίον ἔχει,
ἀλλ᾽ ἀντερείδεται μὲν χρυσουργοῖς καὶ ἀργυροχόοις,
χαλκοπλάστας τὲ μιμεῖται,
καὶ δόξαν ἡγεῖται ὅτι κίβδηλα πλάσσει.
Σποδὸς ἡ καρδία αὐτοῦ, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτοῦ,
πηλοῦ τὲ ἀτιμότερος ὁ βίος αὐτοῦ,
ὅτι ἠγνόησε τὸν πλάσαντα αὐτόν,
καὶ τὸν ἐμπνεύσαντα αὐτῷ ψυχὴν ἐνεργοῦσαν
καὶ ἐμφυσήσαντα αὐτῷ πνεῦμα ζωτικόν,
ἀλλ᾽ ἐλογίσαντο παίγνιον εἶναι τὴν ζωὴν ἡμῶν
καὶ τὸν βίον ἡμῶν πανηγυρισμὸν ἐπικερδῆ.

---

**3 – 6** ***II$^{2}$1971** Sap. 14, $8^{1}$–10 **9 – 25** ***II$^{2}$1972** Sap. 15, $7^{7}$–$12^{2}$

---

**2 – 6** ***II$^{2}$1971** R cap. M 7, 2 (204v[18]19–21); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 25** ***II$^{2}$1972** R cap. M 7, 3 (204v[21]22–30); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**2 – 6** Τοῦ – ἐξολοθρευθήσεται] *delenda videntur (cf.* PML$^{b}$ cap. B 9$^{M}$ / 7$^{P}$, 7*)* **8 – 25** Τοῦ – ἐπικερδῆ] *delenda videntur (cf.* PML$^{b}$ cap. B 9$^{M}$ / 7$^{P}$, 8*)* **14** *post* μέλλει *vocabulum excidisse videtur (*κάμνειν *LXX)*

## [*II$^{2}$1973 / R cap. M 7, 4]

Εὐσεβίου·

Εἰσὶ τινὲς καταρώμενοι τοὺς ἀστέρας, ὅτε καὶ κατὰ τοῦ οὐρανοῦ ὀργίζονται, λέγοντες· Οὐαὶ τῷ ἄστρῳ σου. Ἄλλοι λέγουσι· Καλοῦ ἄστρου ἐγεννήθη· διὸ καὶ συναστρεῖ αὐτῷ τὰ πάντα. Οὐαὶ δὲ τοῖς ταῦτα λέγουσι. Πολλοὺς οἶδα εὐχομένους εἰς τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ ἱκεσίαν προσφέρουσι τῷ ἡλίῳ, λέγοντες· Ἐλέησόν με. Καὶ οὐαὶ τούτοις. Τί ἀφεὶς τὸν ποιητὴν τοῦ ἡλίου, τὸν ἥλιον προσκυνεῖς; Οὐ δεῖ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα. Γέγραπται γάρ· Ἐπικατάρατος πᾶς ὁ προσκυνῶν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, καὶ εἴ τι ἕτερον ποίημα παρὰ τὸν ποιητήν. Πολλοὶ φανταζόμενοι λέγουσι τὴν σελήνην κατέρχεσθαι· Ὅταν, φησίν, ἐξαιματοῦται, ἄνθρωπος καταγοητεύσας αὐτὴν καταφέρει. Καὶ οὐαὶ τοῖς ταῦτα λέγουσι. Τίς ἠδυνήθη καταγοητεῦσαι οὐρανόν; Ἠβουλήθη Σίμων ὁ μάγος, ἀλλὰ πεσὼν διερράγη. Οὐδεὶς γὰρ δύναται οὐ μικρὸν οὐ μέγα σαλεῦσαι ἄστρον οὐρανοῦ, ἃ ὁ θεὸς τῇ ἰδίᾳ δυνάμει ἐθεμελίωσε. Πάλιν δὲ λέγουσιν ὅτι νεφέλας καὶ ὑετοὺς παράγουσι γόητες ἄνθρωποι. Καὶ τοῦτο ματαιολογοῦσι. Τίς ἀνθρώπων δύναται πρόσταγμα θεοῦ ἀποστρέψαι γοητείᾳ; Τὰ γὰρ νέφη κατὰ πρόσταξιν θεοῦ ἐκχέουσι τὸν ὑετὸν ἐπὶ τῆς γῆς.

---

**3 – 8** ***II$^{2}$1973** Εἰσὶ – τούτοις] PS.-EUSEBIUS ALEXANDRINUS, *Sermo XXII (De astronomis),* 2 (multis mutatis; PG 86, 453, 35–43); Holl, n° 489, 1–6 **8 – 21** Τί – γῆς] IBID., 2–3 (PG 86, 453, 46 – 456, 17); Holl, n° 489, 7–21

---

**2 – 21** ***II$^{2}$1973** R cap. M 7, 4 (204v[30]31–205r5); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$1973** Εὐσεβίου] *scripsi*, εὐσεβείου R

---

**2 – 21** Εὐσεβίου – γῆς] *delenda videntur (cf.* PML$^{b}$ cap. B 9$^{M}$ / 7$^{P}$, 10*)* **3** κατὰ – οὐρανοῦ] *sic* R, κατά τινος *ed.* **10** γάρ] *forsan hic quaedam exciderunt (in ed. affertur Deut. 6, 13)*

## [*II²1974 / R cap. M 7, 5]

Τοῦ Θεολόγου·

Οἱ μὲν ἥλιον, οἱ δὲ σελήνην, οἱ δὲ ἄστρων πλῆθος, οἱ δὲ οὐρανὸν αὐτὸν ἅμα τούτοις ἐσεβάσθησαν, οἱ δὲ τὰ στοιχεῖα, ὧν ἄνευ οὐδὲ συστῆναι δυνατὸν τὸν ἀνθρώπινον βίον· οἶμαι δὲ καὶ δυναστείαν τινὲς θεραπεύοντες, καὶ ῥώμην ἐπαινέσαντες, καὶ κάλλος θαυμάσαντες, θεὸν ἐποιήσαντο χρόνῳ τὸν τιμώμενον· οἱ ἐμπαθέστεροι δὲ αὐτῶν καὶ τὰ πάθη θεοὺς ὠνόμασαν.

---

**3 – 5 *II²1974** Οἱ – βίον] Gregorius Nazianzenus, *De theologia II (Orat. 28)*, 14, 1–6 (pluribus omissis; ed. Gallay/Jourjon, p. 128) **5 – 7** οἶμαι – τιμώμενον] Ibid., 14, 14–16 (p. 130) **7 – 8** οἱ – ὠνόμασαν] Ibid., 15, 1–2 (p. 130)

---

**2 – 8 *II²1974** R cap. M 7, 5 (205r[5]6–10); *deest in* T(lac.) HIII

---

**2 – 8** Τοῦ – ὠνόμασαν] *delenda videntur (cf.* PMLb cap. B 9M / 7P, 11*)*

## Τίτλος η′ Περὶ ματαιοπονούντων καὶ μάταια φρονούντων. II$^{1}$ / K cap. M 2

### *II$^{2}$1975 / R cap. M 8, 1

Βασιλειῶν δ′·

Ἐπορεύθησαν οἱ υἱοὶ Ἰσραὴλ ὀπίσω τῶν ματαίων, καὶ ἐματαιώθησαν καὶ ἐπράθησαν τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου παροργίσαι αὐτόν. Καὶ ἐθυμώθη κύριος σφόδρα ἐπὶ Ἰσραήλ, καὶ ἀπέστησεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ.

### *II$^{2}$1976 / R cap. M 8, 2

Ψαλμὸς δ′·

Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;
Ἱνατί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος;

### *II$^{2}$1977 / R cap. M 8, 3

<***>

Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν.
Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος,
πλὴν μάτην ταράσσεται.

---

**4 – 5** ***II$^{2}$1975** Ἐπορεύθησαν – ἐματαιώθησαν] IV Reg. 17, 15 (Wahl, *4 Könige-Text*, p. 135) **5 – 7** καὶ – αὐτοῦ] Ibid. 17, 17–18 (Wahl, p. 135) **10 – 11** ***II$^{2}$1976** Ps. 4, 3$^{1-2}$ **14** ***II$^{2}$1977** Πλὴν – ζῶν] Ps. 38, 6$^{3}$ **15 – 16** Μέντοιγε – ταράσσεται] Ibid. 38, 7$^{1-2}$

---

**1** **Titlos** R (205r11) (*cf.* PML$^{b}$ cap. M 4 titlos [II$^{1}$ / K cap. M 2 titlos (c)]); *deest in* T$^{(lac.)}$ H$^{III}$A$^{III}$ **3 – 7** ***II$^{2}$1975** R cap. M 8, 1 (205r[12]13–15); *deest in* T$^{(lac.)}$ H$^{III}$ **9 – 11** ***II$^{2}$1976** R cap. M 8, 2 (205r[15]16); *deest in* T$^{(lac.)}$ H$^{III}$ **13 – 16** ***II$^{2}$1977** R cap. M 8, 3 (205r17–18); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* R$^{pin}$

---

***II$^{2}$1977** *s. a.* R

II$^{1}$1470 / K cap. M 2, 4

## *II$^{2}$1978 / R cap. M 8, 4

Παροιμιῶν·

Ὁ σπείρων φαῦλα θερίσει κακά,
ματαιότητα ἔργων αὐτοῦ συντελέσει.

II$^{1}$1469 / K cap. M 2, 3

## *II$^{2}$1979 / R cap. M 8, 5

Τοῦ αὐτοῦ·

Οἱ διώκοντες μάταια ἐνδεεῖς φρενῶν.

II$^{1}$1474 / K cap. M 2, 8

## *II$^{2}$1980 / R cap. M 8, 6

<***>

Πάντες μάταιοι, ποιοῦντες τὰ καταθύμια αὐτῶν, ἃ οὐκ ὠφελήσει αὐτούς.

## *II$^{2}$1981 / R cap. M 8, 7

Τοῦ Ἐκκλησιαστοῦ·

Καὶ ἐπέστρεψα ἐγὼ καὶ εἶδον ματαιότητα ὑπὸ τὸν ἥλιον.
Ἔστιν εἷς καὶ ἔστι δεύτερος,
καί γε υἱὸς καί γε ἀδελφὸς οὐκ ἔστιν αὐτῷ·
καὶ οὐκ ἔστι περασμὸς τῷ μόχθῳ αὐτοῦ,

---

**3 *II$^{2}$1978** Ὁ – κακά] Prov. 22, 8$^{1}$ (Wahl, *Proverbien-Text*, p. 104) **4** ματαιότητα – συντελέσει] Ibid. 22, 8a$^{2}$ (Wahl, p. 104–105) **7 *II$^{2}$1979** Prov. 12, 11$^{2}$ (Wahl, *Proverbien-Text*, p. 62) **10 – 11 *II$^{2}$1980** Is. 44, 9 (Wahl, *Prophetenzitate*, p. 400) **14 – 875, 1 *II$^{2}$1981** Καὶ – πλούτου] Eccle. 4, 7$^{1}$–8$^{4}$ (Wahl, *Kohelet-Text*, p. 154)

---

**2 – 4 *II$^{2}$1978** R cap. M 8, 4 (205r[18]18–19); *deest in* T$^{(lac.)}$ H$^{III}$ **6 – 7 *II$^{2}$1979** R cap. M 8, 5 (205r[19]19); *deest in* T$^{(lac.)}$ H$^{III}$ **9 – 11 *II$^{2}$1980** R cap. M 8, 6 (205r20); *deest in* T$^{(lac.)}$ H$^{III}$ **13 – 875, 3 *II$^{2}$1981** R cap. M 8, 7 (205r[20]21–24); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$1980** *s. a.* R

καί γε ὀφθαλμὸς αὐτοῦ οὐκ ἐμπιπλᾶται πλούτου·
καί γε τοῦτο ματαιότης
καὶ περισπασμὸς πονηρός.

### *II$^{2}$1982 / R cap. M 8, 8

**II$^{1}$1475 / K cap. M 2, 9**

Ἡσαΐου·

Πεποίθασιν ἐπὶ ματαίοις, καὶ λαλοῦσι κενά, ὅτι κύουσι πόνον καὶ τίκτουσι μάταια καὶ ἱστὸν ἀράχνης ὑφαίνουσιν.

### *II$^{2}$1983 / R cap. M 8, 9

**II$^{1}$suppl. 349 / V cap. M 14, 10**

Τοῦ ἁγίου Βασιλείου·

…ἀτεχνῶς εἰς πῦρ ξαίνοντες, καὶ κοσκίνῳ φέροντες ὕδωρ, καὶ εἰς τετρημένον πίθον ἀντλοῦντες…

### *II$^{2}$1984 / R cap. M 8, 10

**II$^{1}$suppl. 350 / PML$^{b}$ cap. M 4, 12**

Τοῦ αὐτοῦ·

Πόνος οὐδὲν κέρδος ἔχων ἐγκωμίου παντὸς ἀπεστέρηται.

---

**2 – 3** καί – πονηρός] Ibid. 4, 8$^{7-8}$ (Wahl, p. 154) **6 – 7** ***II$^{2}$1982** Is. 59, 4 – 5 (Wahl, *Prophetenzitate*, p. 455) **10 – 11** ***II$^{2}$1983** Basilius Caesariensis, *Ad iuvenes (De legendis gentilium libris)*, IX, 2, 11–12 (ed. Naldini, p. 118) **14** ***II$^{2}$1984** Basilius Caesariensis, re vera Iohannes Chrysostomus, *De Babyla contra Iulianum et gentiles*, 45, 11–12 (ed. Schatkin/Blanc/Grillet, p. 148)

---

**5 – 7** ***II$^{2}$1982** R cap. M 8, 8 (205r[24]25 – 26); *deest in* T$^{(lac.)}$ H$^{III}$ **9 – 11** ***II$^{2}$1983** R cap. M 8, 9 (205r[26]26 – 27); *deest in* T$^{(lac.)}$ H$^{III}$ **13 – 14** ***II$^{2}$1984** R cap. M 8, 10 (205r[27]28); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

**7** μάταια] ἀνομίαν *LXX* **11** τετρημένον] *scripsi*, τετρημμένον R

## *II[2]1985 / R cap. M 8, 11

Τοῦ ἁγίου Ἀθανασίου·

Πρὸς μόνα τὰ παρόντα καὶ τὰς τούτων δόξας βλέπουσα ψυχή, ἔξω ἑαυτῆς γενομένη, τὰ οὐκ ὄντα λογίζεται καὶ ἀνατυποῦται.

---

**3 *II²1985** Πρὸς – ψυχή] ATHANASIUS ALEXANDRINUS, *Contra idola (Contra gentes)*, 8, 4–5 (ed. Thomson, p. 20) **4** ἔξω – ἀνατυποῦται] IBID., 8, 9–10 (p. 20)

---

**2 – 4 *II²1985** R cap. M 8, 11 (205r[28]29–30); *deest in* T(lac.) H$^{III}$

## Τίτλος θʹ Περὶ μεταβολῆς καὶ ἀλλοιώσεως πραγμάτων, καὶ ὅτι οὐδὲν ἐπίμονον ἐν βίῳ, ἀλλὰ πάντα ἐν βουλήσει καὶ χειρὶ θεοῦ.

### *II$^{2}$1986 / R cap. M 9, 1

Ἰώβ·

Κύριον τὸν πάντων δεσπότην ἐπικαλέσομαι,
τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος
καὶ ἀπολωλότας ἐξεγείροντα,
δια<λ>λάσσοντα βουλὰς πανούργων,
καὶ οὐ μὴ ποιήσωσιν αἱ χεῖρες αὐτῶν ἀληθές.
Ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ φρονήσει,
βουλὴν δὲ πολύπλοκον ἐξέστησε.
Δια<λ>λάσσων καρδίας ἀφρόνων,
ἐπλάνησε δὲ αὐτοὺς ἐν ὁδῷ, ᾗ οὐκ ᾔδεισαν.

### *II$^{2}$1987 / R cap. M 9, 2

Ψαλμὸς λβʹ·

Κύριος διασκεδάζει βουλὰς ἐθνῶν
ἕως
εἰς γενεὰν καὶ γενεάν.

---

**6** ***II$^{2}$1986** Κύριον – ἐπικαλέσομαι] Iob 5, 8$^{2}$ **7 – 12** τὸν – ἐξέστησε] Ibid. 5, 11$^{1}$–13$^{2}$ **13 – 14** Διαλλάσσων – ᾔδεισαν] Ibid. 12, 24$^{1-2}$ **17 – 19** ***II$^{2}$1987** Ps. 32, 10$^{1}$–11$^{2}$

---

**1 – 3 Titlos** R (205r31–32) $A^{III\,pin}$ (*cf. etiam* II suppl. / PML$^{b}$ cap. M 14$^{M}$ titlos); *deest in* $T^{(lac.)}$ $H^{III}A^{III\,txt}$ **5 – 14** ***II$^{2}$1986** R cap. M 9, 1 (205r[32]33–37); *deest in* $T^{(lac.)}$ $H^{III}$ **16 – 19** ***II$^{2}$1987** R cap. M 9, 2 (205r[37]37); *deest in* $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* $A^{III\,pin}$ $R^{pin}$ θʹ] *propt. mg. resect. non liquet in* $A^{III\,pin}$ *(*εʹ *secund. ser.)* καὶ ἀλλοιώσεως] *sic* $A^{III\,pin}$, *om.* R

---

**9** διαλλάσσοντα] *scripsi*, διαλάσσοντα R **13** Διαλλάσσων] *scripsi*, διαλάσσων R ἀφρόνων] ἀρχόντων γῆς *LXX*

## *II$^{2}$1988 / R cap. M 9, 3

<***>

Τόξον δυνατῶν ἠσθένησε,
καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν
ἕως
κατακληρονομῶν αὐτοῦ.

## *II$^{2}$1989 / R cap. M 9, 4

Τοῦ Ἐκκλησιαστοῦ·

Ἔστιν ἐλπὶς ὅτι ὁ κύων ὁ ζῶν, αὐτὸς ἀγαθὸς
ὑπὲρ τὸν λέοντα τὸν νεκρόν.

## *II$^{2}$1990 / R cap. M 9, 5

Τοῦ αὐτοῦ·

Εἶδον δούλους ἐφ’ ἵππους
καὶ ἄρχοντας πορευομένους ὡς δούλους ἐπὶ γῆς.

## *II$^{2}$1991 / R cap. M 9, 6

Τοῦ αὐτοῦ·

Ὑπέστρεψα καὶ εἶδον ὑπὸ τὸν ἥλιον

---

**3 – 6 *II$^{2}$1988** I Reg. 2, 4–8 (Wahl, *1 Samuel-Text*, p. 44) **9 – 10 *II$^{2}$1989** Eccle. 9, 4$^{2-3}$ (Wahl, *Kohelet-Text*, p. 166) **13 – 14 *II$^{2}$1990** Eccle. 10, 7$^{1-2}$ (Wahl, *Kohelet-Text*, p. 169) **17 – 879, 6 *II$^{2}$1991** Eccle. 9, 11$^{1-7}$ (Wahl, *Kohelet-Text*, p. 167)

---

**2 – 6 *II$^{2}$1988** R cap. M 9, 3 (205r38–39); *deest in* T$^{(lac.)}$ H$^{III}$ **8 – 10 *II$^{2}$1989** R cap. M 9, 4 (205r[39]39–40); *deest in* T$^{(lac.)}$ H$^{III}$ **12 – 14 *II$^{2}$1990** R cap. M 9, 5 (205r[40]40); *deest in* T$^{(lac.)}$ H$^{III}$ **16 – 879, 6 *II$^{2}$1991** R cap. M 9, 6 (205v[1]1–4); *deest in* T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$1988** *s. a.* R

---

**6** κατακληρονομῶν] *scripsi (LXX)*, κατ$^{α}$κληρονο$^{μ'}$ R

ὅτι οὐ τοῖς κούφοις ὁ δρόμος,
καὶ οὐ τοῖς δυνατοῖς ὁ πόλεμος,
καί γε οὐ τοῖς σοφοῖς ὁ ἄρτος,
καί γε οὐ τοῖς συνετοῖς ὁ πλοῦτος,
καί γε οὐ τοῖς γινώσκουσιν ἡ χάρις,
ὅτι καιρὸς καὶ ἀπάντημα συναντήσεται τοῖς πᾶσιν αὐτοῖς.

## *II$^{2}$1992 / R cap. M 9, 7

Σιράχ·

Ἐν ἡμέρᾳ δόξης μὴ ἐπαίρου,
ὅτι θαυμαστὰ τὰ ἔργα κυρίου,
καὶ κρυπτὰ τὰ ἔργα αὐτοῦ ἀνθρώποις.
Πολλοὶ τύραννοι ἐκάθισαν ἐπὶ ἐδάφους,
ὁ δὲ ἀνυπονόητος ἐφόρεσε διάδημα.
Πολλοὶ δυνάσται ἠτιμάσθησαν σφόδρα,
καὶ ἔνδοξοι παρεδόθησαν εἰς χεῖρας ἑτέρων.

## *II$^{2}$1993 / R cap. M 9, 8

Τοῦ αὐτοῦ·

Ἔστι κοπιῶν καὶ σπεύδων
καὶ τόσῳ μᾶλλον ὑστερεῖται.
Καὶ ἔστι νωθρὸς προσδεόμενος ἀντιλήψεως,
ὑστερῶν ἰσχύϊ καὶ πτωχείᾳ περισσεύων·
καὶ οἱ ὀφθαλμοὶ κυρίου ἐπέβλεψαν αὐτῷ εἰς ἀγαθά,
καὶ ἀνώρθωσεν αὐτὸν ἐκ ταπεινώσεως αὐτοῦ,
καὶ ἀνύψωσε κεφαλὴν αὐτοῦ,
καὶ ἐθαύμασαν αὐτὸν πολλοί.

**9 – 15 *II$^{2}$1992** Sir. 11, 4$^{2}$–6$^{2}$ (Wahl, *Sirach-Text*, p. 76) **18 – 25 *II$^{2}$1993** Sir. 11, 11$^{1}$–13$^{2}$ (Wahl, *Sirach-Text*, p. 77)

**8 – 15 *II$^{2}$1992** R cap. M 9, 7 (205v[4]4–7); *deest in* T$^{(lac.)}$ H$^{III}$ **17 – 25 *II$^{2}$1993** R cap. M 9, 8 (205v[8]8–12); *deest in* T$^{(lac.)}$ H$^{III}$

## Τίτλος ιʹ Περὶ μακαρισμοῦ, ὅτι οὐ δεῖ *πρὸ τελευτῆς μακαρίζειν* τινά.

### *II²1994 / R cap. M 10, 1

Σιράχ·

Πρὸ τελευτῆς μὴ μακάριζε μηδένα.

### *II²1995 / R cap. M 10, 2

Ἡσαΐου·

Λαός μου, οἱ δοξάζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν.

### *II²1996 / R cap. M 10, 3

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸν πρῶτον ψαλμόν·

Ὁ ἐν τῷ βίῳ τυγχάνων οὔπω μακαριστὸς διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως· ὁ δὲ συμπληρώσας τὰ ἐπιβάλλοντα καὶ ἀναντιρρήτῳ τέλει τὴν ζωὴν κατακλείσας, οὗτος ἤδη μακαρίζεται.

---

**1 – 2** Περὶ – τινά] cf. II¹ / K^pin Παραπομπὴ M 5 **1 – 2** Sir. 11, 28¹

---

**5** ***II²1994** Sir. 11, 28¹ (Wahl, *Sirach-Text*, p. 79) **8 – 9** ***II²1995** Is. 3, 12 (Wahl, *Prophetenzitate*, p. 295) **12 – 14** ***II²1996** BASILIUS CAESARIENSIS, *Homilia in Psalmum I*, 3 (PG 29, 217, 12–15)

---

**1 – 2** **Titlos** R (205v12–13) A^III pin; *deest in* T^(lac.) H^III A^III txt **4 – 5** ***II²1994** R cap. M 10, 1 (205v[13]14); *deest in* T H^III **7 – 9** ***II²1995** R cap. M 10, 2 (205v[14]14–15); *deest in* T H^III **11 – 14** ***II²1996** R cap. M 10, 3 (205v[16]16–18); *deest in* T H^III

---

**1** Τίτλος] *om.* A^III pin R^pin ιʹ] *propt. mg. resect. non liquet in* A^III pin *(ςʹ secund. ser.)*

---

**8** δοξάζοντες] μακαρίζοντες *LXX*

# Στοιχεῖον Ν

## <Τίτλος> α′ Περὶ τοῦ νοός.

<***>

1 **Stoicheion** R$^{\text{txt}}$ (214r20) R$^{\text{pin}}$ A$^{\text{III pin}}$; *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$A$^{\text{III pin}}$ 2 **Titlos** A$^{\text{III pin}}$ (19r2); *deest in* T$^{\text{(lac.)}}$ H$^{\text{III}}$A$^{\text{III txt}}$ R

1 Ν] νῦ R$^{\text{txt}}$, *add.* βϊβλΐον γ′ A$^{\text{III pin}}$ 2 Τίτλος] *supplevi*

**2 – 5** ***II$^{2}$2147** P cap. O 10, 12 (36rA[20–21]22–26); E cap. 165, 7; L$^{c}$ cap. O 3, 12; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **7 – 8** ***II$^{2}$2148** P cap. O 10, 13 (36rA[27]28–30); L$^{c}$ cap. O 3, 13; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R **10 – 945, 2** ***II$^{2}$2149** P cap. O 10, 14 (36rA[31]32–36rB7); L$^{c}$ cap. O 3, 14; R cap. O 13, 6; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2147** (a) P L$^{c}$ Τοῦ – τοῦ] *om.* L$^{c}$ καθέδρας] *add.* τῆς L$^{c}$ (b) *s. a.* E ***II$^{2}$2148** (a) P (b) Περὶ εὐταξίας L$^{c}$ *(cf. lemma loci sequentis)* ***II$^{2}$2149** (a) P R Τοῦ αὐτοῦ] *om.* P ἐκ τοῦ] *om.* R (b) *s. a.* L$^{c}$ *(cf. lemma loci praecedentis)*

---

**4** ἀπατᾶν] ἀπανταν P εἶναι τί P **11** Ἡμεῖς] μεῖς *(rubricatoris vitio)* L$^{c}$ τούτου] τοῦτο *(*του- P*)* P L$^{c}$ παλλακεις P

καὶ ταῦτα περικεκομμένως καὶ ἀνοήτως, τοῦτο ἡμῖν ἡ αὐθωρινὴ σοφία.

### *II²2150 / PMLᵇ cap. O 10, 15

Ἐκ τοῦ αὐτοῦ·

Σοφία καὶ τὸ γινώσκειν ἑαυτόν, ἀλλὰ μὴ ὑπεραίρεσθαι, μὴ δὲ ταὐτὸν ταῖς φωναῖς πάσχειν, αἳ παντελῶς ἐκλείπουσιν, ἐὰν ὑπερφωνῶνται δι᾽ ἀμετρίαν. Κρεῖσσον γὰρ ὄντα σοφὸν ὑφίεσθαι δι᾽ ἐπιείκειαν, ἢ ἀμαθῶς ἔχοντα διὰ θράσος ὑπερεκτείνεσθαι.

### *II²2151 / PMLᵇ cap. O 10, 16

Τοῦ αὐτοῦ, εἰς τὴν νέαν Κυριακήν·

Μὴ φρόνει μέγα, ἵνα μὴ μεῖζον κατενεχθῇς. Μὴ φρόνει τῶν πολλῶν εἶναι κρείττων, λυποῦ δέ, τῶν ἀγαθῶν ἡττώμενος.

---

**5 – 8** ***II²2150** Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, 21, 23–27 (ed. Moreschini, p. 130) **11 – 12** ***II²2151** Gregorius Nazianzenus, *In novam Dominicam (Orat. 44)*, 8 (PG 36, 616, 23–26)

---

**4 – 8** ***II²2150** P cap. O 10, 15 (37rB[7]8–21); E cap. 165, 8–9; $L^c$ cap. O 3, 15; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ R **10 – 12** ***II²2151** P cap. O 10, 16 (36rB[22–23]24–31); E cap. 165, 10; $L^c$ cap. O 3, 16; R cap. O 13, 7; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$

---

***II²2150** (a) P (b) *s. a.* E $L^c$ ***II²2151** (a) P $L^c$ R Τοῦ αὐτοῦ] *om.* $L^c$ εἰς] ὡς *(rubricatoris vitio)* $L^c$ (b) *s. a.* E

---

**1** αὐθωρινὴ] *sic* R, αυθορινη P, αὐθημερϊνὴ $L^c$ *(= ed.)* **5 – 7** μὴ² – ἀμετρίαν] *om.* E **6** αἳ] *s. l.* $L^c$ εκλειπωσιν P **7** δι᾽ ἀμετρίαν] διαμετρίαν P γὰρ] *om.* E **8** θράσους P $L^c$ **11** Μὴ¹ – κατενεχθῇς] *om.* E μεῖζον] *scripsi (ed.)*, μειζων P, πλέον R **12** κρείσσων R λυποῦ δέ] ἀλλὰ λυποῦ E, αλλααυνοῦ P ἡσσώμενος R

II$^{1}$1618 / K cap. O 6, 7

## *II$^{2}$2152 / PML$^{b}$ cap. O 10, 17

Τοῦ αὐτοῦ, ἐκ τῶν Ἐπῶν·

Μή σοι τὸ εἶναι τῷ δοκεῖν ὑπορρέοι.

## *II$^{2}$2153 / PML$^{b}$ cap. O 10, 18

Ἐκ τῶν αὐτῶν·

Ὕβρις, μικρῶν κρατοῦντα φυσᾶσθαι μέγα.

## *II$^{2}$2154 / PML$^{b}$ cap. O 10, 19

Κυρίλλου Ἀλεξανδρ<ε>ίας·

Οἴησις, προκοπῆς ἐκκοπή. Οἴησις γὰρ προκαταλαβοῦσα τὸν νοῦν καὶ ἐν ἕξει γενομένη, δυσμετάθετον κακὸν γίνεται.

---

**6** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 34.13./12. (ed. Ihm, p. 668) et Apostol. Byzant., *Proverbia collecta*, XVII. 47c (ed. Leutsch, *CParG*, II p. 697, 23) **9** Οἴησις$^{1}$ – ἐκκοπή] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 34.25./20. (ed Ihm, p. 672)

---

**3** ***II$^{2}$2152** Gregorius Nazianzenus, *Carmina*, I,2,30 *(Versus iambici acrostichi)*, 12 (PG 37, 909, 11) **6** ***II$^{2}$2153** Gregorius Nazianzenus, *Carmina*, locus non repertus **9** ***II$^{2}$2154** Οἴησις – ἐκκοπή] Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XI, locus non repertus (fr. 2, 3, ed. Kinzig/Brüggemann, p. 761) **9 – 10** Οἴησις – γίνεται] Cyrillus Alexandrinus (?), locus non repertus

---

**2 – 3** ***II$^{2}$2152** P cap. O 10, 17 (36rB[31]32–33); L$^{c}$ cap. O 3, 17; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R **5 – 6** ***II$^{2}$2153** P cap. O 10, 18 (36rB[34]35–36); L$^{c}$ cap. O 3, 18; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R **8 – 10** ***II$^{2}$2154** P cap. O 10, 19 (36vA[1]2–8); E cap. 165, 11; L$^{c}$ cap. O 3, 19; R cap. O 13, 8; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2152** (a) P (b) πῶν *(pro* Ἐπῶν *rubricatoris vitio)* L$^{c}$ ***II$^{2}$2153** (a) P (b) *s. a.* L$^{c}$ ***II$^{2}$2154** (a) P R Ἀλεξανδρείας] *scripsi*, αλεξανδριας P, ἀλεξανδρ L$^{c}$, *om.* R (b) *s. a.* E

---

**3** τῷ] το P ὑπορρέοι] *sic* L$^{c}$ *(= ed.)*, ὑπερρεοι P, *forsan* ὑπεκρέοι *legendum (cf.* II$^{1}$1618 / K cap. O 6, 7*)* **6** Ὕβρις] βρῐς *(rubricatoris vitio)* μικρὸν P **9 – 10** Οἴησις$^{2}$ – γίνεται] *om.* E

## Τίτλος ια′ Περὶ ὀλιγοβίων καὶ μακροβίων.

$\mathrm{II}^1$ / K cap. O 11

### *$\mathrm{II}^2$2155 / $\mathrm{PML}^b$ cap. O 11, 1

$\mathrm{II}^1$1692 / K cap. O 11, 1

Ἰώβ·

Εὐλογημένος γεννητὸς γυναικὸς ὀλιγόβιος.

### *$\mathrm{II}^2$2156 / $\mathrm{PML}^b$ cap. O 11, 2

Ἡσαΐου προφήτου·

Ὁ δὲ ἀποθνήσκων ἁμαρτωλὸς ἑκατὸν ἐτῶν, καὶ ἐπικατάρατος ἔσται.

### *$\mathrm{II}^2$2157 / $\mathrm{PML}^b$ cap. O 11, 3

$\mathrm{II}^1$1693 / K cap. O 11, 2

Σοφίας Σολομῶντος·

Γῆρας τίμιον οὐ τὸ πολυχρόνιον,
οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται,
πολιὰ δὲ ἔστι φρόνησις ἀνθρώποu,
καὶ ἡλικία γήρους βίος ἀκηλίδωτος.

---

**4 *$\mathrm{II}^2$2155** Iob 11, $2^3$ **7 – 8 *$\mathrm{II}^2$2156** Is. 65, 20 (Wahl, *Prophetenzitate*, p. 474) **11 – 948, 4 *$\mathrm{II}^2$2157** Γῆρας – αὐτοῦ] Sap. 4, $8^1$–$11^1$

---

**1 Titlos** P (36vA19–20) $M^{pin}$ $L^{b\ pin}$ R; *deest in* $M^{txt\ (lac.)}$ $L^{b\ txt}$ $L^c$ *(fenestra in* $L^c$*)* $T^{(lac.)}$ $H^{III}$ **3 – 4 *$\mathrm{II}^2$2155** P cap. O 11, 1 (36vA[20]21–23); $L^c$ cap. O 5, 1; R cap. O 14, 1; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ **6 – 8 *$\mathrm{II}^2$2156** P cap. O 11, 2 (36vA[24]25–28); $L^c$ cap. O 5, 2; R cap. O 14, 2; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ **10 – 948, 7 *$\mathrm{II}^2$2157** P cap. O 11, 3 (36vA[29]30–36vB18); $L^c$ cap. O 5, 3; R cap. O 14, 3; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* $PM^{pin}$ $L^{b\ pin}$ $R^{pin}$ ια′] ιδ′ R, ε′ *exspectav. in* $L^c$ καὶ μακροβίων] *om.* $M^{pin}$

---

***$\mathrm{II}^2$2155** ϊώβ P ***$\mathrm{II}^2$2156** ησαϊου P, ἰσαΐου *(rubricatoris vitio)* $L^c$ προφήτου] *om.* $L^c$ R ***$\mathrm{II}^2$2157** σοφια P

---

**7** καὶ] *om.* R $L^c$ **11** πολυχρονίον P **12** μεμέτριται P, μετρεῖται R **13** πολιὰ] πολλὰ $L^c$ δέ ἐστϊ $L^c$, δε εστιν P ἀνθρώποις R **14** ἡλίκια P γήρως $L^c$

Εὐάρεστος θεῷ γενόμενος ἠγαπήθη,
καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη.
Ἡρπάγη, μὴ ἡ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ,
ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ.
Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς·
ἀρεστὴ γὰρ ἦν κυρίῳ ἡ ψυχὴ αὐτοῦ·
διατοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας.

## *II$^{2}$2158 / PML$^{b}$ cap. O 11, 4

Φίλωνος, ἐκ τοῦ περὶ βίου σοφῶν·

Τοὺς χρόνον πολὺν τρίψαντας ἐν τῇ μετὰ σώματος ζωῇ δίχα καλοκἀγαθίας, πολυχρονίους παῖδας λεκτέον, μαθήματα πολιᾶς ἄξια μηδέποτε παιδευθέντας.

---

**5 – 7** Τελειωθεὶς – πονηρίας] Sap. 4, 13–14$^{2}$ **10 – 12** ***II$^{2}$2158** PHILO IUDAEUS, *De Abrahamo*, 271 (ed. Cohn, p. 59, 14–16)

---

**9 – 12** ***II$^{2}$2158** P cap. O 11, 4 (36vB[18–19]20–29); L$^{c}$ cap. O 5, 4; R cap. O 14, 4; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2158** ἐκ τοῦ] *om.* R σοφῶν] -ῶν *non liquet in* P

---

**1 – 7** Εὐάρεστος – πονηρίας] *om.* R **2 – 3** μετετέθη. Ἡρπάγη] μετετέθιγηρπαγη P **3** ἀλλάξει P **10** τριψαστας P

## Τίτλος ιε′ Περὶ ὀφθαλμοῦ καὶ ὁράσεως. **$II^1$ / K cap. O 8**

### *$II^2$2159 / R cap. O 15, 1 **$II^1$1642 / K cap. O 8, 2**

Παροιμιῶν·

Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν,
τὰ δὲ βλέφαρά σου νευέτω δίκαια.

### <*$II^2$suppl. 22 / $PML^b$ cap. O 12, 2>

### *$II^2$2160 / R cap. O 15, 2 **$II^1$1641 / K cap. O 8, 1**

Τῶν αὐτῶν·

Θεωρῶν ὀφθαλμὸς καλά, εὐφραίνει καρδίαν.

---

**6** ***$II^2$suppl. 22** cf. *Sacra.* Liber II. *Supplementum* (Band VIII/8)

---

**4 – 5** ***$II^2$2159** Prov. 4, $25^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 33–34) **9** ***$II^2$2160** Prov. 15, $30^{1}$ (Wahl, *Proverbien-Text*, p. 80)

---

**1** **Titlos** R (221r21) $PM^{pin}$ $L^{b\,pin}$ $E^{txt}$; *deest in* $T^{(lac.)}$ $H^{III}A^{III}$ $M^{txt\,(lac.)}$ $L^{b\,txt}$ $E^{pin\,(lac.)}$ $L^{c}$ *(fenestra in* $L^{c\,txt}$*)* **3 – 5** ***$II^2$2159** R cap. O 15, 1 (221r[21]22); P cap. O 12, 1; E cap. 166, 1; $L^c$ cap. O 18, 1; *deest in* $T^{(lac.)}$ $H^{III}$ $M^{(lac.)}$ $L^{b\,pin}$ **8 – 9** ***$II^2$2160** R cap. O 15, 2 (221r[23]23); P cap. O 12, 3; E cap. 166, 3; $L^c$ cap. O 18, 3; *deest in* $T^{(lac.)}$ $H^{III}$ $M^{(lac.)}$ $L^{b\,pin}$

---

**1** Τίτλος] *om.* $R^{pin}$ $PM^{pin}$ $L^{b\,pin}$ $E^{txt}$ ιε′] ιβ′ $PM^{pin}$ $L^{b\,pin}$, ρξς′ $E^{txt}$, ιη′ $L^c$ *secund. ser.* καὶ ὁράσεως] *om.* $M^{pin}$

---

***$II^2$2160** (a) R (b) *s. a.* P E $L^c$

---

**5** δὲ] *om.* P

II$^1$1647 et 1643 / K cap. O 8, 7 et O 8, 3

## *II$^2$2161 / R cap. O 15, 3

Τοῦ Σιράχ·

Κακὸν ὀφθαλμὸς πονηρός.
Πονηρότερον ὀφθαλμοῦ τί ἔκτισται;
Διατοῦτο ἀπὸ παντὸς προσώπου δακρύει.

II$^1$1645 / K cap. O 8, 5

## *II$^2$2162 / R cap. O 15, 4

Τοῦ αὐτοῦ·

Κύριε, πάτερ καὶ θεὲ ζωῆς μου,
μετεωρισμὸν ὀφθαλμῶν μή μοι δῷς.

II$^1$1648 / K cap. O 8, 8

## *II$^2$2163 / R cap. O 15, 5

Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου·

Ὁ λύχνος τοῦ σώματος ἐστὶν ὁ ὀφθαλμός. Ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται. Εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστί, τὸ σκότος πόσον.

**3 – 5** ***II$^2$2161** Sir. 34, 13$^{1-3}$ (Wahl, *Sirach-Text*, p. 138–139) **8 – 9** ***II$^2$2162** Sir. 23, 4$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 109) **12 – 15** ***II$^2$2163** Matth. 6, 22–23

**2 – 5** ***II$^2$2161** R cap. O 15, 3 (221r[23]23–25); P cap. O 12, 4; E cap. 166, 4; L$^c$ cap. O 18, 4; *deest in* T$^{(lac.)}$ H$^{III}$ M$^{(lac.)}$ L$^{b\ pin}$ **7 – 9** ***II$^2$2162** R cap. O 15, 4 (221r[25]25–26); P cap. O 12, 6; L$^c$ cap. O 18, 6; *deest in* T$^{(lac.)}$ H$^{III}$ M$^{(lac.)}$ L$^{b\ pin}$ E **11 – 15** ***II$^2$2163** R cap. O 15, 5 (221r[26]26–29); P cap. O 12, 9; E cap. 166, 5; L$^c$ cap. O 18, 9; *deest in* T$^{(lac.)}$ H$^{III}$ M$^{(lac.)}$ L$^{b\ pin}$

***II$^2$2161** Τοῦ] *om.* R E L$^c$ ***II$^2$2162** (a) R (b) *s. a.* L$^c$ (c) *s. d.* P ***II$^2$2163** (a) P R Εὐαγγελίου] *om.* R (b) Εὐαγγελίου E (c) Ματθαίου L$^c$

**4 – 5** Πονηρότερον – δακρύει] ὀπίσω ἀναιδῶν ὀφθαλμῶν φύλαξαι *(= Sir. 26, 11$^1$)* E **5** Διατοῦτο] δῖὰ τοῦ L$^c$ **8** Κύριε] *iterav.* L$^c$ καὶ] *om.* L$^c$ **9** μή μοι] μη *(sine acc.)* L$^c$ **12** ὀφθαλμός$^1$ – ὁ$^2$] *om.* L$^c$ **12 – 15** Ἐὰν – πόσον] *om.* E **13** φοτινον ἐστιν P **14** σκοτινον ἐσται P

## *II$^{2}$2164 / R cap. O 15, 6

II$^{1}$1650 / K cap. O 8, 10

Τοῦ θεολόγου Γρηγορίου, ἐκ τοῦ εἰς Κυπριανόν·

Ψαύουσιν ὀφθαλμοὶ λίχνοι καὶ τῶν ἀψαύστων, τὸ προχειρότατον ὄργανον καὶ ἀπληστότατον.

## *II$^{2}$2165 / R cap. O 15, 7

Φίλωνος, ἐκ τοῦ περὶ τῆς κοσμοποιΐας·

Αἱ αἰσθήσεις θυρίσιν ἐοίκασιν· διὰ γὰρ τούτων ὡσανεὶ θυρίδων, ἐπεισέρχεται τῷ νῷ ἡ κατάληψις τῶν αἰσθητῶν· καὶ πάλιν ὁ νοῦς ἐκκύπτει δι' αὐτῶν. Μέρος δέ ἐστι τῶν θυρίδων, λέγω δὴ τῶν αἰσθήσεων, ἡ ὅρασις, ἐπεὶ καὶ ψυχῆς μάλιστα συγγενής, ὅτιπερ καὶ τῷ καλλίστῳ τῶν ὄντων φωτὶ οἰκεία, καὶ ὑπηρέτις τῶν θείων, ἥτις καὶ τὴν εἰς φιλοσοφίαν ὁδὸν ἔτεμε τὴν πρώτην. Θεασαμένη γὰρ ἡλίου κίνησιν καὶ σελήνης, καὶ τὰς τῶν ἀστέρων περιόδους, καὶ τὴν ἀπλανῆ περιφορὰν τοῦ σύμπαντος οὐρανοῦ, καὶ τὴν παντὸς λόγου κρείττονα τάξιν τὲ καὶ ἁρμονίαν, καὶ τὸν τοῦ κόσμου μόνον ἀψευδέστατον κοσμοποιόν, διήγγειλε τῷ ἡγεμόνι λογισμῷ, ἃ εἶδεν. Ὁ δὲ ἐν ὄμματι ὀξυδερκεστέρῳ θεασάμενος καὶ ταῦτα, καὶ διὰ τούτων <τὰ> ἀνωτέρω καὶ παραδειγματικὰ εἴδη καὶ τῶν ἀ-

**3 – 4** ***II$^{2}$2164** Gregorius Nazianzenus, *In laudem Cypriani (Orat. 24)*, 9, 19–21 (ed. Mossay/Lafontaine, p. 56) **7 – 952, 3** ***II$^{2}$2165** Αἱ – γέγονεν] Philo Iudaeus, re vera *Quaestiones in Genesim*, II. 34a (ed. Petit, p. 105)

**2 – 4** ***II$^{2}$2164** R cap. O 15, 6 (221r[29]30–31); P cap. O 12, 10; E cap. 166, 6; L$^{c}$ cap. O 18, 10; *deest in* T$^{(lac.)}$ H$^{III}$ M$^{(lac.)}$ L$^{b\ pin}$ **6 – 952, 4** ***II$^{2}$2165** R cap. O 15, 7 (221r[31]32–221v5); P cap. O 12, 11; L$^{c}$ cap. O 18, 11; *deest in* T$^{(lac.)}$ H$^{III}$ M$^{(lac.)}$ L$^{b\ pin}$ E

***II$^{2}$2164** (a) P R Γρηγορίου] *om.* R (b) Τοῦ Θεολόγου, εἰς Κυπριανόν L$^{c}$ (c) Θεολόγου E ***II$^{2}$2165** τῆς] *om.* L$^{c}$

**4** ὀργάνων L$^{c}$ **10** συνγενης P **11** ὑπηρέτις] ὑπηρέτϊς R$^{p.\ c.}$ L$^{c\ ut\ videtur}$ *(ultima syllaba non liquet)*, -έτης R$^{a.\ c.}$, ϋπηρετης P **12** θεασαμένην P, θεσαμένη L$^{c}$ **15** λόγου] *praem.* τοῦ R κρείσσονα *(*κρει- P*)* P L$^{c}$ **16** δϊήγγειλλε L$^{c}$ **17** ϊδεν P **17 – 18** καὶ$^{2}$ – εἴδη] και δια τουτων ἀνοτερω και παραδειγματικαι εδει P, καὶ παραδείγματι καὶ εἴδει διὰ τούτων ἀνωτέρω R, δὴ ἃ τούτω ἀνωτέρω καὶ παραδείγματι καὶ εἴδει L$^{c}$ **18** τὰ] *e versione armena supplev. Petit* παραδειγματικὰ εἴδη] *coniec. Mangey* τῶν] τὸν L$^{c}$

πάντων αἴτιον, εὐθὺς εἰς ἔννοιαν ἦλθε θεοῦ καὶ γενέσεως καὶ προνοίας, λογισάμενος ὅτι ἡ ὅλη φύσις οὐκ ἀπαυτοματισθεῖσα γέγονεν, ἀλλὰ ἀνάγκη ποιητὴν εἶναι καὶ πατέρα, κυβερνήτην τὲ καὶ ἡνίοχον, ὃς καὶ πεποίηκε, καὶ τὰ ποιήματα αὐτοῦ σώζει.

## *II$^{2}$2166 / R cap. O 15, 8

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ τῶν γιγάντων·

Αἴσθησις, ὡς αὐτό που δηλοῖ τοὔνομα, τὰ φανέντα ἐπιφέρει τῷ νῷ. Τούτῳ γάρ, ἐπειδὴ μέγιστον ἐστὶ ταμιεῖον καὶ πανδεχές, πάντα ὅσα δι᾽ ὁράσεως καὶ ἀκοῆς καὶ <τῶν> ἄλλων αἰσθητικῶν ὀργάνων, ἐντίθεται καὶ ἐναποθησαυρίζεται. Φαντασία δὲ ἐστὶ τύπωσις ἐν ψυχῇ· ἃ γὰρ εἰσήγαγεν ἑκάστη τῶν αἰσθήσεων, ὥσπερ δακτύλιός τις ἐσφράγισε καὶ ἀπεμάξατο οἰκεῖον χαρακτῆρα. Κηρῷ δὲ ἔοικεν ὁ νοῦς· τὸ ἐκμαγεῖον δεξάμενος, ἄκρως παρ᾽ ἑαυτῷ φυλάττει, μέχρις ἂν ἡ ἀντίπαλος τῆς μνήμης τὸν τύπον λεάνασα λήθη, ἢ ἀμυδρὸν ἐργάσηται ἢ παντελῶς ἀφανίσῃ. Τὸ δὲ φανὲν καὶ τυπωθὲν τότε μὲν οἰκείως, τότε δὲ ὡς ἑτέρως διέθηκε τὴν ψυχήν.

---

**3 – 4** ἀλλὰ – σώζει] PHILO IUDAEUS, re vera *Quaestiones in Genesim*, II. 34c (ed. Petit, p. 106) **7 – 16** ***II$^{2}$2166** PHILO IUDAEUS, *Quod deus sit immutabilis*, 42 (ed. Wendland, p. 65, 12 – 66, 2)

---

**6 – 16** ***II$^{2}$2166** R cap. O 15, 8 (221v[5]5–15); P cap. O 12, 12; L$^{c}$ cap. O 18, 12; *deest in* T$^{(lac.)}$ H$^{III}$ M$^{(lac.)}$ L$^{b\ pin}$ E

---

***II$^{2}$2166** τῶν] *om.* R

---

**2** αὐτοματισθεῖσα R L$^{c}$ **3** ἀλλ᾽ ἀνάγκη L$^{c}$ **7** τὸ ὄνομα R **8** Τούτῳ] *scripsi (ed.)*, τούτων R P L$^{c}$ ταμιεῖον] *add.* καὶ ἄλλων αἰσθητικῶν ὀργάνων R πανδεχεῖς P **9** τῶν ἄλλων] *scripsi (ed.)*, ἄλλων P L$^{c}$, ὧν προειρήκαμεν R **10** ἀποθησαυρίζεται R **13** ἔοικεν] ἐοικὼς *ed.* τὸ] *add.* γὰρ L$^{c}$ **14** λαιάνασα R **15** ἢ$^{1}$] *om.* P L$^{c}$ ἀφανίσῃ] ἀγανΐσῃ L$^{c}$ **16** τότε$^{1}$] ποτὲ L$^{c}$ τότε$^{2}$] ποτὲ L$^{c}$

# Στοιχεῖον Π

## Τίτλος α′ Περὶ πολιτείας ἀνεπιλήπτου καὶ θεαρέστου.

III / par. 64[59] A

### *II$^2$2167 / PML$^b$ cap. Π 1, 1

Γενέσεως·

Εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ, καὶ οὐχ’ ηὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός.

### *II$^2$2168 / PML$^b$ cap. Π 1, 2

Τῆς αὐτῆς·

Νῶε ἄνθρωπος τέλειος, δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ· τῷ θεῷ εὐηρέστησεν Νῶε.

### *II$^2$2169 / PML$^b$ cap. Π 1, 3

Τῆς αὐτῆς·

Ὤφθη κύριος τῷ Ἀβραάμ, καὶ εἶπεν αὐτῷ· Ἐγώ εἰμι κύριος ὁ θεός σου· εὐαρέστει ἐναντίον μου, καὶ γίνου ἄμεμπτος.

---

**5 – 6** ***II$^2$2167** Gen. 5, 24 **9 – 10** ***II$^2$2168** Gen. 6, 9 **13 – 14** ***II$^2$2169** Gen. 17, 1

---

**1 Stoicheion** P$^{txt}$ (252rA18) M$^{pin}$ L$^{b\,pin}$ A$^{III\,pin}$ R; *deest in* P$^{pin}$ M$^{txt\,(lac.)}$ L$^{b\,txt}$ T$^{(lac.)}$ H$^{III}$A$^{III\,txt}$ **2 Titlos** P (252rA19–20) M$^{pin}$ L$^{b\,pin}$ R; *deest in* M$^{txt\,(lac.)}$ L$^{b\,txt}$ T$^{(lac.)}$ H$^{III}$A$^{III}$ **4 – 6** ***II$^2$2167** P cap. Π 1, 1 (252rA[20]21–24); R cap. Π 1, 1; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **8 – 10** ***II$^2$2168** P cap. Π 1, 2 (252rA[25]26–29); R cap. Π 1, 2; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **12 – 14** ***II$^2$2169** P cap. Π 1, 3 (252rA[29]30–35); R cap. Π 1, 3; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

**1** Στοιχεῖον Π] κεφάλαια τοῦ Π M$^{pin}$, ἀρχὴ τοῦ Π στοιχείου L$^{b\,pin}$ Π] πῖ R$^{pin}$, *add.* βϊβλΐον γ′ A$^{III\,pin}$ **2** Τίτλος] *om.* PM$^{pin}$ L$^{b\,pin}$ R$^{txt}$ α′] *iterav.* R$^{pin}$, *om.* R$^{txt}$ ἀνεπιλήπτου – θεαρέστου] *om.* M$^{pin}$

---

**5** ἐνωχ P οὐχευρίσκετω P μετετεθηκεν P **9** νωε P **10** νωε P **13** κύριος[1]] *add.* ὁ θεὸς P αβρααμ P **14** ἐναντίον ἐμου P

## *II²2170 / PMLᵇ cap. Π 1, 4

Τῆς Ἐξόδου·

Εἶπεν κύριος πρὸς Μωϋσῆν· Εὕρηκας χάριν ἐνώπιον μου, καὶ οἶδα σε παρὰ πάντας.

## *II²2171 / PMLᵇ cap. Π 1, 5

Τοῦ Δευτερονομίου·

Ποιήσεις τὸ ἀγαθὸν καὶ τὸ ἀρεστὸν ἐνώπιον κυρίου τοῦ θεοῦ σου.

## *II²2172 / PMLᵇ cap. Π 1, 6

Βασιλειῶν αʹ·

Εἶπεν Σαμουὴλ πρὸς πάντα ἄνδρα Ἰσραήλ· Ἰδοὺ ἐγὼ γεγήρακα καὶ καθήσομαι, καὶ οἱ υἱοί μου ἐν ὑμῖν· κἀγὼ ἰδοὺ διελήλυθα ἐνώπιον ὑμῶν ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης. Ἰδοὺ ἐγώ, ἀποκρίθητε κατ᾽ ἐμοῦ ἐνώπιον κυρίου καὶ ἐνώπιον χριστοῦ αὐτοῦ· μόσχον τίνος εἴληφα, ἢ ὄνον τίνος εἴληφα, ἢ τίνα κατεδυνάστευσα, ἢ τίνα ἐξεπίασα, ἢ ἐκ χειρὸς τίνος εἴληφα ἐξίλασμα ἢ ὑπόδημα; Ἀποκρίθητε κατ᾽ ἐμοῦ, καὶ ἀποδώσω ὑμῖν. Καὶ εἶπαν πρὸς Σαμουήλ· Οὐκ ἠδίκησας ἡμᾶς, καὶ οὐ κατεδυνάστευσας ἡμᾶς, καὶ οὐκ εἴληφας ἐκ χειρὸς οὐδενὸς οὐδέν. Καὶ εἶπεν Σαμουὴλ πρὸς τὸν λαόν· Μάρτυς κύριος ἐν ὑμῖν, καὶ μάρτυς χριστὸς αὐτοῦ σή-

**3 – 4** ***II²2170** Ex. 33, 17 **7** ***II²2171** Deut. 6, 18 (Wahl, *Deuteronomium-Text*, p. 120) **10 – 955, 2** ***II²2172** I Reg. 12, 1–5 (Wahl, *1 Samuel-Text*, p. 52–53)

**2 – 4** ***II²2170** P cap. Π 1, 4 ([252rA35]252rB1–4); R cap. Π 1, 4; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$ **6 – 7** ***II²2171** P cap. Π 1, 5 (252rB[5]6–8); R cap. Π 1, 5; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$ **9 – 955, 2** ***II²2172** P cap. Π 1, 6 (252rB[9]10–252vA9); *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$ R

**3** μωσην P ἐνώπιον μου] ἐναντίον μου R **7** ἄρεστον P **11** υἱοί μου] *scripsi (LXX)*, ϋιοί σου P **14 – 15** τίνα κατεδυνάστευσα] *scripsi (LXX)*, τινι κατεδυναστευσας P **17** σαμουηλ P **18** σαμουηλ P

μερον, ἐν ταύτῃ τῇ ἡμέρᾳ, ὅτι οὐχ' εὑρήκατε ἐν χειρί μου οὐθέν. Καὶ εἶπαν· Μάρτυς.

## *II$^{2}$2173 / PML$^{b}$ cap. Π 1, 7

Βασιλειῶν <***>·

Ἐγένετο ἐν τῷ καιρῷ ἐκείνῳ, ἐμαλακίσθη Ἐζεκίας ἕως θανάτου· καὶ ἦλθεν πρὸς αὐτὸν Ἡσαΐας ὁ προφήτης, καὶ εἶπεν πρὸς αὐτόν· Τάδε λέγει κύριος· Τάξαι περὶ τοῦ οἴκου σου· ἀποθνήσκεις γάρ συ καὶ οὐ ζήσῃ. Καὶ ἀπέστρεψεν Ἐζεκίας τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖχον, καὶ προσηύξατο πρὸς κύριον, λέγων· Μνήσθητι, κύριε, ὡς ἐπορεύθην ἐνώπιόν σου μετὰ ἀληθείας ἐν καρδίᾳ ἀληθινῇ καὶ τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποίησα· καὶ ἔκλαυσεν Ἐζεκίας κλαυθμῷ μεγάλῳ. Καὶ ἐγένετο λόγος κυρίου πρὸς Ἡσαΐαν, λέγων· Πορεύου καὶ εἶπον πρὸς Ἐζεκίαν· Τάδε λέγει κύριος· Ἰδοὺ προστίθημι πρὸς τὸν χρόνον σου ἔτη ιε'.

## *II$^{2}$2174 / PML$^{b}$ cap. Π 1, 8

Ἰώβ·

Ἄνθρωπος τίς ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ,
καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἄμεμπτος, ἀληθινός, δίκαιος, [θεοσεβής,
ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος.

---

**5 – 14** ***II$^{2}$2173** Reg., re vera Is. 38, 1–5 (deest apud Wahl, *Prophetenzitate*) **17 – 20** ***II$^{2}$2174** Iob 1, 1$^{1-3}$

---

**4 – 14** ***II$^{2}$2173** P cap. Π 1, 7 (252vA[10]11–252vB7); *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **16 – 20** ***II$^{2}$2174** P cap. Π 1, 8 (252vB[7]8–16); R cap. Π 1, 6; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2173** *numerus libri non liquet in* P ***II$^{2}$2174** ἰώβ P

---

**1** οὐχ' εὑρήκατε] *scripsi (LXX)*, ουχευρικατο P **6** ἱσαΐας P **8** ἀπέστρεψεν] *scripsi (LXX)*, ἀπεστριψεν P εζεκιας P **11** ἐζεκιας P **12** ησαΐαν P **17** αυσητιδι P ἰωβ P

## *II$^2$2175 / PML$^b$ cap. Π 1, 9

Τοῦ αὐτοῦ·

Τίς με θείη κατὰ μῆνα ἔμπροσθεν ἡμερῶν,
ὧν με ὁ θεὸς ἐφύλαξεν,
ὡς ὅτ᾽ ηὔγει ὁ λύχνος αὐτοῦ ὑπὲρ κεφαλῆς μου,
ὅταν τῷ φωτὶ αὐτοῦ ἐπορεύθην,
ὅτε ἤμην ἐπιβρίθων ὁδοῖς,
ὅτε ὁ κύριος ἐπισκοπὴν ἐποιεῖτο τοῦ οἴκου μου;

## *II$^2$2176 / PML$^b$ cap. Π 1, 10

Καὶ μεθ᾽ ἕτερα·

Διέσωσα πτωχὸν ἐκ χειρὸς δυνάστου,
καὶ ὀρφανῷ ᾧ οὐκ ἦν βοηθός, ἐβοήθησα·
στόμα δὲ χήρας ηὐλόγησέν με.
Ὀφθαλμὸς ἤμην τυφλῶν,
ποὺς δὲ χωλῶν.
Ἐγὼ ἤμην πατὴρ ἀδυνάτων,
δίκην δέ, ἣν οὐκ ᾔδειν, ἐξιχνίασα·
συνέτριψα δὲ μύλας ἀδίκων,
ἐκ μέσου τῶν ὀδόντων αὐτῶν ἅρπαγμα ἐξέσπασα.
Ἐγὼ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα,
ἐστέναξα δὲ ἰδὼν ἄνδρα ἐν ἀνάγκαις.
Ἀδύνατοι δὲ χρείαν ἥν ποτε εἶχον, οὐκ ἀπέτυχον·
χήρας δὲ τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα.
Εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος

---

**3 – 8** ***II$^2$2175** Iob 29, $2^1$–$4^2$ **11 – 12** ***II$^2$2176** Διέσωσα – ἐβοήθησα] Iob 29, $12^{1-2}$ **13** στόμα – με] Ibid. 29, $13^2$ **14 – 19** Ὀφθαλμὸς – ἐξέσπασα] Ibid. 29, $15^1$–$17^2$ **20 – 21** Ἐγὼ – ἀνάγκαις] Ibid. 30, $25^{1-2}$ **22 – 957, 2** Ἀδύνατοι – πατήρ] Ibid. 31, $16^1$–$18^1$

---

**2 – 8** ***II$^2$2175** P cap. Π 1, 9 (252vB[16]17–29); R cap. Π 1, 7; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **10 – 957, 3** ***II$^2$2176** P cap. Π 1, 10 (252vB[30]31–253rA26); *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^2$2175** (a) R (b) Τῆς αὐτῆς P

---

**5** οτηυγη P, ὅτε ηὔγει R **6** τῷ] *om.* R

καὶ οὐχὶ ὀρφανῷ μετέδωκα,
ὅτι ἐκ νεότητος ἐξέτρεφον ὡς πατήρ.
Ἡ θύρα μου παντὶ ἐλθόντι ἠνέωκται.

## *II$^{2}$2177 / PML$^{b}$ cap. Π 1, 11

Τοῦ Ἐκκλησιαστοῦ·

Εὐφραίνου, νεανίσκε, ἐν νεότητί σου,
καὶ ἀγαθυνάτω σε ἡ καρδία σου ἐν ἡμέραις νεότητός σου,
καὶ περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμεμπτος,
καὶ ἐν ὁράσει ὀφθαλμῶν σου,
καὶ γνῶθι ὅτι ἐπὶ πᾶσιν τούτοις ἄξει σε ὁ θεὸς ἐν κρίσει.
Καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου,
καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκῶν σου.

## *II$^{2}$2178 / PML$^{b}$ cap. Π 1, 12

Τοῦ Σιράχ·

Μακάριος, οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ,
καὶ ὃς οὐκ ἔπεσεν ἀπὸ τῆς ἐλπίδος αὐτοῦ.

## *II$^{2}$2179 / PML$^{b}$ cap. Π 1, 13

Τοῦ αὐτοῦ·

Τίς ἠδύνατο παραβῆναι καὶ οὐ παρέβη,

---

**3** Ἡ – ἠνέωκται] Ibid. 31, 32$^{1}$ **6 – 12** ***II$^{2}$2177** Eccle. 11, 9$^{1}$–10$^{2}$ (Wahl, *Kohelet-Text*, p. 173) **15 – 16** ***II$^{2}$2178** Sir. 14, 2$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 85) **19 – 958, 3** ***II$^{2}$2179** Sir. 34, 10$^{3}$–11$^{2}$ (Wahl, *Sirach-Text*, p. 138)

---

**5 – 12** ***II$^{2}$2177** P cap. Π 1, 11 (253rA[27]28–253rB7); *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **14 – 16** ***II$^{2}$2178** P cap. Π 1, 12 (253rB[8]8–12); R cap. Π 1, 8; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **18 – 958, 3** ***II$^{2}$2179** P cap. Π 1, 13 (253rB[13]14–22); *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^{2}$2178** Τοῦ] *om.* R

---

**3** ἠνεοκται P

ποιῆσαι κακὸν καὶ οὐκ ἐποίησεν;
Στερεωθήσεται τὰ ἀγαθὰ αὐτοῦ,
καὶ τὰς ἐλεημοσύνας αὐτοῦ ἐκδιηγήσεται ἐκκλησία.

### *II$^2$2180 / PML$^b$ cap. Π 1, 14

Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου·

Εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

### *II$^2$2181 / PML$^b$ cap. Π 1, 15

Ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς·

Ἀδελφοί, ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ἔργα τοῦ φωτός. Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγ<ε>ίαις, μὴ ἔριδι καὶ ζήλῳ, ἀλλ' ἐνδύσασθε τὸν κύριον Ἰησοῦν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίαν.

### *II$^2$2182 / PML$^b$ cap. Π 1, 16

Τῆς αὐτῆς·

Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν ἁγίαν εὐάρεστον τῷ

---

**6 *II$^2$2180** Εἶπεν – μαθηταῖς] Matth. 5, 1–2 **6 – 8** Οὕτως – οὐρανοῖς] Ibid. 5, 16 **11 – 15 *II$^2$2181** Rom. 13, 12–14 **18 – 959, 4 *II$^2$2182** Rom. 12, 1–2

---

**5 – 8 *II$^2$2180** P cap. Π 1, 14 (253rB[23]24–32); R cap. Π 1, 9; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **10 – 15 *II$^2$2181** P cap. Π 1, 15 (253rB[33]34–253vA14); *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **17 – 959, 4 *II$^2$2182** P cap. Π 1, 16 (253vA[14]15–32); *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^2$2180** Εὐαγγελίου] *om.* R

---

**14** ἀσελγείαις] *scripsi*, ασελγίαις P ενδυσασθαι P **15** ποιησθαι P

θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν, καὶ μὴ συσχηματίζεσθαι τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθαι τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ἡμᾶς τί τὸ θέλημα τοῦ θεοῦ, τὸ ἀγαθὸν καὶ ἀρεστὸν καὶ τέλειον.

## *Π²2183 / PMLᵇ cap. Π 1, 17

Ἐκ τῆς πρὸς Κορινθίους α′·

Οὐκ ἔστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ· ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ, εὐάρεστος τῷ θεῷ καὶ δόκιμος τοῖς ἀνθρώποις.

## *Π²2184 / PMLᵇ cap. Π 1, 18

Πρὸς Γαλάτας·

Ὁ καρπὸς τοῦ πνεύματος ἐστὶν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστιν νόμος. Οἱ δὲ τοῦ Ἰησοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασιν καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν.

## *Π²2185 / PMLᵇ cap. Π 1, 19

Ἐκ τῆς πρὸς Ἐφεσίους·

Παρακαλῶ ὑμᾶς, ἀδελφοί, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐ-

---

**7 – 9** ***Π²2183*** I Cor., re vera Rom. 14, 17–18 **12 – 16** ***Π²2184*** Gal. 5, 22–25 **19 – 960, 5** ***Π²2185*** Eph. 4, 1–4

---

**6 – 9** ***Π²2183*** P cap. Π 1, 17 (253vA[33]34–253vB6); R cap. Π 1, 10; *deest in* M⁽ˡᵃᶜ·⁾ Lᵇ T⁽ˡᵃᶜ·⁾ Hᴵᴵᴵ **11 – 16** ***Π²2184*** P cap. Π 1, 18 (253vB[6]7–20); *deest in* M⁽ˡᵃᶜ·⁾ Lᵇ T⁽ˡᵃᶜ·⁾ Hᴵᴵᴵ R **18 – 960, 5** ***Π²2185*** P cap. Π 1, 19 (253vB[21]22–254rA2); R cap. Π 1, 11; *deest in* M⁽ˡᵃᶜ·⁾ Lᵇ T⁽ˡᵃᶜ·⁾ Hᴵᴵᴵ

---

***Π²2183*** (a) P (b) Πρὸς Κορινθίους R ***Π²2185*** Ἐκ τῆς] *om.* P εφεσίους P

---

**3** ἡμᾶς] *sic* P, ὑμᾶς *NT* **3 – 4** ἄρεστον P **13** ἀγαθοσύνη P

κλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν.

## *Π²2186 / PML^b cap. Π 1, 20

Ἐκ τῆς αὐτῆς·

Ἀπόθεσθε κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· ἀνανεοῦσθε δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας. Διό, ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν, ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη.

## *Π²2187 / PML^b cap. Π 1, 21

Ἐκ τῆς αὐτῆς·

Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μὴ δὲ δίδοτε τόπον τῷ διαβόλῳ.

---

**8 – 13** ***Π²2186** Eph. 4, 22–25 **16 – 17** ***Π²2187** Eph. 4, 26–27

---

**7 – 13** ***Π²2186** P cap. Π 1, 20 (253rA[2]3–22); R cap. Π 1, 12; *deest in* M^(lac.) L^b T^(lac.) H^III **15 – 17** ***Π²2187** P cap. Π 1, 21 (253rA[22]23–29); *deest in* M^(lac.) L^b T^(lac.) H^III R

---

***Π²2186** Ἐκ] *om.* R

---

**10** ἐνδυσασθαι P **12 – 13** Διό – μέλη] *om.* R

## *II²2188 / PMLᵇ cap. Π 1, 22

Καὶ μετ᾽ ὀλίγα·

Μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.

## *II²2189 / PMLᵇ cap. Π 1, 23

Τῆς αὐτῆς·

Πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ᾽ ὑμῶν, σὺν πάσῃ κακίᾳ. Γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν. Γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ, ὡς τέκνα ἀγαπητά, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ὑμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ὑμῶν προσφορὰν καὶ θυσίαν τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας.

## *II²2190 / PMLᵇ cap. Π 1, 24

Ἐκ τῆς πρὸς Φιλιππησίους·

Ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε· ἃ καὶ ἐμάθετε καὶ παρελάβετε, καὶ ἠκούσατε καὶ εἴδετε ἐν ἐμοί, ταῦτα πράσσετε, καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ᾽ ὑμῶν.

---

**3 – 4** ***II²2188** Eph. 4, 30 **7 – 13** ***II²2189** Eph. 4, 31 – 5, 2 **16 – 19** ***II²2190** Phil. 4, 8–9

---

**2 – 4** ***II²2188** P cap. Π 1, 22 (253rA[29]30–34); R cap. Π 1, 13; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$ **6 – 13** ***II²2189** P cap. Π 1, 23 (254rA[34]35–254rB19); R cap. Π 1, 14; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$ **15 – 19** ***II²2190** P cap. Π 1, 24 (254rB[20]21–33); R cap. Π 1, 15; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$

---

***II²2189** (a) P (b) *s. d.* R ***II²2190** Ἐκ τῆς] *om.* R φιλιππισίους P

---

**3** λυπῆτε R **8** γινεσθαι P **10** ἡμῖν R **11** ἡμᾶς R$^{p.\ c.\ ut\ videtur}$ **12** ἡμῶν R **16** ὅσα ἁγνά] *om.* R **18** ἴδετε P **19** πράσσεται P

## *Π$^{2}$2191 / PML$^{b}$ cap. Π 1, 25

Ἐκ τῆς πρὸς Κολοσσαεῖς·

Ἀδελφοί, εἰ συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ἐστιν ὁ Χριστὸς ἐν δεξιᾷ καθήμενος τοῦ θεοῦ· τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. Ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ· ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.

## *Π$^{2}$2192 / PML$^{b}$ cap. Π 1, 26

<***>

Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία, δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπ<ε>ιθείας· ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατε ποτέ, ὅτι ἐζῆτε ἐν τούτοις. Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν. Μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν, ὅπου οὐκ ἔ<ν>ι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσιν Χριστός. Ἐνδύσασθε οὖν ὡς ἐκλεκτοὶ θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις

---

**3 – 7** *Π$^{2}$**2191** Col. 3, 1–4 **10 – 963, 2** *Π$^{2}$**2192** Col. 3, 5–13

---

**2 – 7** *Π$^{2}$**2191** P cap. Π 1, 25 (254rB[34]35–254vA14); R cap. Π 1, 16; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **9 – 963, 2** *Π$^{2}$**2192** P cap. Π 1, 26 (254vA14–254vB31); *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R

---

*Π$^{2}$**2191** Ἐκ τῆς] *om.* R κολασσαεῖς R *Π$^{2}$**2192** *s. a.* P

---

**6** ἡμῶν] *sic* R, ἡμῶν P$^{\text{ut videtur}}$ **12 – 13** ἀπειθείας] *scripsi,* ἀπιθείας P **15** ψευδεσθαι P **18** ἔνι] *scripsi (NT),* ει P$^{\text{ut videtur}}$ **18 – 19** ἕλλην P **19** ϊουδαιος P **20 – 21** ἐνδυσασθαι P

πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς.

## *II²2193 / PML^b cap. Π 1, 27

Τοῦ θεολόγου Γρηγορίου, ἐκ τοῦ περὶ τῆς χαλάζης·

Σοφία πρώτη βίος ἐπαινετὸς καὶ θεῷ κεκαθαρμένος ἢ καθαιρόμενος, τῷ καθαρῷ καὶ λαμπροτάτῳ, καὶ μόνην ἀπαιτοῦντι παρ' ἡμῶν θυσίαν τὴν κάθαρσιν.

## *II²2194 / PML^b cap. Π 1, 28

Ἐκ τοῦ αὐτοῦ·

Οὐχ' ὁ ἐν λόγῳ σοφός, οὗτος ἐμοὶ σοφός, οὐδὲ ὅστις γλῶσσαν εὔστροφον ἔχει, ψυχὴν δὲ ἀπαίδευτον, ὥσπερ τῶν τάφων ὅσοι τὰ ἔξωθεν ὄντες εὐπρεπεῖς καὶ ὡραῖοι, μυδῶσι νεκροῖς τὰ ἔνδον, καὶ πολλὴν δυσωδίαν περικαλύπτουσιν, ἀλλ' ὅστις ὀλίγα μὲν περὶ ἀρετῆς φθέγγεται, πολλὰ δὲ οἷς ἐνεργεῖ παραδείκνυσι, καὶ τὸ ἀξιόπιστον τοῦ λόγου διὰ τοῦ βίου προστίθησιν.

---

**11 – 12** τῶν – ἔνδον] cf. Matth. 23, 27

---

**5 – 7** ***II²2193** Gregorius Nazianzenus, *De grandine, in patrem tacentem (Orat. 16)*, 2 (PG 35, 936, 24–27) **10 – 15** ***II²2194** Gregorius Nazianzenus, *De grandine, in patrem tacentem (Orat. 16)*, 2 (PG 35, 936, 42 – 937, 6)

---

**4 – 7** ***II²2193** P cap. Π 1, 27 (254vB[31–32]33–255rA5); R cap. Π 1, 17; *deest in* M^(lac.) L^b T^(lac.) H^III **9 – 15** ***II²2194** P cap. Π 1, 28 (255rA[5]6–24); R cap. Π 1, 18; *deest in* M^(lac.) L^b T^(lac.) H^III

---

***II²2193** Γρηγορίου] *om.* R ***II²2194** Ἐκ] *om.* R

---

**10** οὐδ' ὅστις R **11** εὔστροφον] *om.* P **12** ἔξω R **15** προτίθησιν R

## *Π$^{2}$2195 / PML$^{b}$ cap. Π 1, 29

Ἐκ τοῦ αὐτοῦ·

Κρεῖσσον ἐμοὶ εὐμορφία θεωρουμένη τῆς λόγῳ ζωγραφο<υ>μένης, καὶ πλοῦτος, ὃν χεῖρες ἔχουσιν ἢ ὃν ὄνειροι πλάττουσιν, καὶ σοφία οὐχ' ἡ λόγῳ λαμπρυνομένη, ἀλλ' ἡ διὰ τῶν ἔργων ἐλεγχομένη. *Σύνεσις* γὰρ *ἀγαθὴ πᾶσιν τοῖς ποιοῦσιν αὐτήν*, φησίν, οὐ τοῖς κηρύττουσιν.

## *Π$^{2}$2196 / PML$^{b}$ cap. Π 1, 30

Τοῦ αὐτοῦ, ἐκ τοῦ πρὸς τοὺς καλέσαντας καὶ μὴ ἀπαντήσαντας·

*Εἰ πνεύματι ζῶμεν, πνεύματι καὶ στοιχῶμεν*· τούτῳ τὴν γνῶσιν ἕλκοντες, ἐποικοδομοῦντες τῷ θεμελίῳ τῆς πίστεως μὴ ξύλα, μὴ δὲ χόρτον, μὴ δὲ καλάμην, ὕλην ἀσθενῆ καὶ ῥαδίως δαπανωμένην, ἡνίκα ἂν πυρὶ κρίνηται τὰ ἡμέτερα, ἀλλὰ χρυσόν, ἄργυρον, λίθους τιμίους, τὰ μένοντα καὶ ἱστάμενα. Καὶ μὴ περιπλέκοιτο ὑμῖν τὰ *τῶν κύκλῳ περιπατούντων ἀσεβῶν* σχοινία, μὴ δὲ *σειραῖς τῶν* ἰδίων ἁμαρτιῶν *περισφίγγοισθε*, μὴ δὲ ταῖς *βιωτικαῖς μερίμναις συμπνίγοιτο* ὑμῖν τῆς σωτηρίας *ὁ λόγος, καὶ ἄκαρποι γίνε-*

---

**6** Ps. 110, 10$^{2}$ **10** Gal. 5, 25 **10 – 11** τὴν – ἕλκοντες] cf. Ps. 118, 131$^{1}$ **13** πυρὶ – ἡμέτερα] cf. I Cor. 3, 13 **15** Ps. 11, 9$^{1}$ **15 – 16** Prov. 5, 22$^{2}$ **16 – 17** βιωτικαῖς μερίμναις] Luc. 21, 34 **17 – 965, 1** συμπνίγοιτο – γίνεσθε] Matth. 13, 22

---

**3 – 7** ***Π$^{2}$2195** Gregorius Nazianzenus, *De grandine, in patrem tacentem (Orat. 16)*, 3 (PG 35, 937, 7–12) **10 – 14** ***Π$^{2}$2196** Εἰ – ἱστάμενα] Gregorius Nazianzenus, *Ad eos qui ipsum acciverant nec occurrerant (Orat. 3)*, 7, 22–28 (ed. Bernardi, p. 252) **14 – 965, 2** Καὶ – ἀριστερά] Ibid., 8, 5–10 (p. 252–254)

---

**2 – 7** ***Π$^{2}$2195** P cap. Π 1, 29 (255rA[24]25–255rB3); *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R
**9 – 965, 2** ***Π$^{2}$2196** P cap. Π 1, 30 (255rB[4]5–36); R cap. Π 1, 19; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***Π$^{2}$2196** καὶ – ἀπαντήσαντας] *om.* R

---

**3** θεωρουμένη] θεορουμενοι P **3 – 4** ζωγραφουμένης] *scripsi (ed.)*, ζωγραφομενης P **10** καὶ] *om.* P **11** ἕλκοντες] ἔχοντες R **13 – 14** ἄργυρον – μὴ] *om.* R **15** ὑμῶν R **16** ἁμαρτημάτων R **17 – 965, 1** γινεσθαι P

*σθε*, ἀλλ' *ὁδῷ πορεύεσθε βασιλικῇ*, μὴ ἐκκλίνοντες εἰς δεξιά, μὴ δὲ εἰς ἀριστερά.

## *II²2197 / PMLᵇ cap. Π 1, 31

Τοῦ αὐτοῦ, ἐκ τοῦ πρὸς Εὐνομιανούς·

*Πολλαὶ μοναὶ* παρὰ *τῷ πατρί*, τουτέστιν τὸ διαφόρους εἶναι πολιτείας καὶ προαιρέσεις, καὶ ἄλλην ἀλλαχοῦ φέρειν *κατὰ τὴν ἀναλογίαν τῆς πίστεως*, ὅπερ καὶ ὁδοὺς ὀνομάζομεν.

## *II²2198 / PMLᵇ cap. Π 1, 32

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς Γρηγόριον τὸν Νύσης·

Πρὸς τὸν ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς ἐν τοῖς πάθεσι πόλεμον ἀγωνισώμεθα, πρὸς τὰς καθ' ἑκάστην ἡμέραν τῶν ἔξωθεν συμπιπτόντων ἐπαναστάσεις. Τιθασσεύσωμεν θυμὸν ὡς θηρίον, καὶ γλῶσσαν ὡς δίστομον ξίφος, καὶ ἡδονὴν ὡς πῦρ κατασβέσωμεν.

---

**1** Num. 21, 22 **5** Ioh. 14, 2 **6 – 7** Rom. 12, 6

---

**5** ***II²2197** Πολλαὶ – πατρί] Gregorius Nazianzenus, *De theologia I adversus Eunomianos (Orat. 27)*, 8, 3 – 5 (ed. Gallay/Jourjon, p. 88) **5 – 7** τουτέστιν – ὀνομάζομεν] Ibid., 8, 13 –15 (p. 90) **10 – 13** ***II²2198** Gregorius Nazianzenus, *Ad Gregorium Nyssenum (Orat. 11)*, 4, 23 – 5, 2 (pluribus omissis; ed. Calvet-Sebasti, p. 338)

---

**4 – 7** ***II²2197** P cap. Π 1, 31 ([255rB36]255vA1–9); R cap. Π 1, 20; *deest in* M^(lac.) Lᵇ T^(lac.) H^III **9 – 13** ***II²2198** P cap. Π 1, 32 (255vA[10]11–24); R cap. Π 1, 21; *deest in* M^(lac.) Lᵇ T^(lac.) H^III

---

***II²2197** ἐκ τοῦ] *om.* R εὐνόμιον P ***II²2198** ἐκ τοῦ] *om.* R τὸν] *om.* R Νύσης] *scripsi*, νυσις P, νύσσης R

---

**1** πορευεσθαι P εἰς δεξιά] δεξιᾶ P **2** εἰς ἀριστερά] ἀριστερα P **10 – 11** ἀγωνισόμεθα P **12** Τιθασσεύσωμεν] *sic* R, τίθασσεύσωμεν P, Ἐνέγκωμεν *ed.*

## *II²2199 / PMLᵇ cap. Π 1, 33

Τοῦ αὐτοῦ, ἐκ τῶν Γνωμῶν·

Ἐλεύθερον καὶ δοῦλον ὁ τρόπος γράφει.

## *II²2200 / PMLᵇ cap. Π 1, 34

Τοῦ αὐτοῦ·

Θώμεθα ταῖς ἀκοαῖς θύρας, καλῶς ἀνοιγομένας καὶ κλειομένας, καὶ τὸν ὀφθαλμὸν σωφρονίσωμεν· παιδαγωγήσωμεν ἁφὴν λυσσῶσαν καὶ γεῦσιν σπαράττουσαν, μὴ *θάνατος ἀναβῇ διὰ τῶν θυρίδων*· οὕτω γὰρ ἡγοῦμαι καλεῖσθαι τὰ αἰσθητήρια. Καὶ οὗτος δεινὸς ὁ πόλεμος, καὶ αὕτη παράταξις μεγάλη, καὶ τοῦτο μέγα τρόπαιον.

## *II²2201 / PMLᵇ cap. Π 1, 35

Φίλωνος, ἐκ τοῦ περὶ τῶν μετονομαζομένων·

Τοιαῦτα, φησὶν ὁ νόμος, πράττε, ἃ γενήσεται ἐπάξια τοῦ φανῆναι θεῷ, καὶ ἅπερ ἰδὼν ἀποδέχεται.

---

**8 – 9** Ier. 9, 21 **14** φησὶν – νόμος] cf. Deut. 12, 28 (cf. Phil. Iud., *Mut.*, 42 [ed. Wendland, p. 164, 1–2])

---

**3** ***II²2199** Gregorius Nazianzenus, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 139 (PG 37, 938, 6) **6 – 9** ***II²2200** Θώμεθα – αἰσθητήρια] Gregorius Nazianzenus, *Ad Gregorium Nyssenum (Orat. 11)*, 5, 2–7 (ed. Calvet-Sebasti, p. 338) **9 – 11** Καὶ – τρόπαιον] Ibid., 5, 12–14 (p. 338–340) **14 – 15** ***II²2201** Philo Iudaeus, *De mutatione nominum*, 42 (ed. Wendland, p. 164, 2–3)

---

**2 – 3** ***II²2199** P cap. Π 1, 33 (255vA[25]26–27); *deest in* M(lac.) Lᵇ T(lac.) HIII R **5 – 11** ***II²2200** P cap. Π 1, 34 (255vA28–255vB9); R cap. Π 1, 22; *deest in* M(lac.) Lᵇ T(lac.) HIII **13 – 15** ***II²2201** P cap. Π 1, 35 (255vB[10–11]12–17); R cap. Π 1, 23; *deest in* M(lac.) Lᵇ T(lac.) HIII

---

***II²2200** (a) R (b) *s. d.* P ***II²2201** ἐκ – μετονομαζομένων] *om.* R

---

**7** ἀφην P **8** ἀναβη P **10** παράταξις] *praem.* ἡ R

## *II$^2$2202 / PML$^b$ cap. Π 1, 36

Τοῦ αὐτοῦ·

Καθάπερ δένδρων οὐδὲν ὄφελος, εἰ μὴ καὶ καρπῶν οἰστικὰ γένοιτο, τὸν αὐτὸν τρόπον οὐδὲ φυσιολογίας, εἰ μὴ μέλλοι κτῆσιν ἀρετῆς ἐνεγκεῖν· ὁ γὰρ καρπὸς αὐτῆς οὗτος ἐστίν.

## *II$^2$2203 / PML$^b$ cap. Π 1, 37

Τοῦ αὐτοῦ·

Τοῦ κατ' ἀρετὴν βίου, <ὅς> ἐστιν ἀψευδεστάτη ζωή, μετέχουσιν ὀλίγοι, οὐχὶ τῶν ἀγελαίων φημί – τούτων γὰρ οὐδεὶς τῆς ἀληθοῦς ζωῆς κεκοινώνηκεν –, ἀλλ' εἴ τισιν ἐξεγένετο τὰς ἀνθρώπων φυγεῖν βλάβας, καὶ θεῷ μόνῳ ζῆσαι.

---

**3 – 5** ***II$^2$2202** Philo Iudaeus, *De mutatione nominum*, 73 (ed. Wendland, p. 169, 32 – 170, 2) **8 – 11** ***II$^2$2203** Philo Iudaeus, *De mutatione nominum*, 213 (ed. Wendland, p. 193, 10–13)

---

**2 – 5** ***II$^2$2202** P cap. Π 1, 36 (255vB[17]18–26); R cap. Π 1, 24; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **7 – 11** ***II$^2$2203** P cap. Π 1, 37 (255vB[27]28–256rA2); R cap. Π 1, 25; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

**3** δένδρον R **3 – 4** καὶ – γένοιτο] καρπὸν ποιήσει R **4** κτίσιν P **8** κατὰ ἀρετὴν R ὅς ἐστιν] *scripsi (ed.)*, ἔστιν R, ἐστιν P ζωή] *add.* ἧς R **9** οὐδεὶς] οὐδε εἷς P **11** μόνον R

III / par. 68 A **Τίτλος β′ Περὶ παιδείας παρὰ θεοῦ, καὶ τῶν εὐχαρίστως καὶ εὐγενῶς δεχομένων καὶ φερόντων τὰ ἐπερχόμενα· οὕτω γὰρ χρεών.**

## *Π$^2$2204 / PML$^b$ cap. Π 2, 1

Τοῦ Δευτερονομίου·

Μνήσθητι πᾶσαν τὴν ὁδόν, ἣν ἤγαγέν σε κύριος ὁ θεός σου· τοῦτο τεσσερακοστὸν ἔτος ἐν τῇ ἐρήμῳ, ὅπως ἂν κακώσῃ σε καὶ πειράσῃ σε, καὶ διαγνῷ τὰ ἐν τῇ καρδίᾳ σου, εἰ φυλάξῃ τὰς ἐντολὰς αὐτοῦ ἢ οὔ. Καὶ ἐκάκωσέν σε καὶ ἐλιμαγχόνησέν σε, †οὗ† οὐκ ᾔδεισαν οἱ πατέρες σου, ἵνα ἀναγγείλῃ σοι ὅτι οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, ἀλλ᾽ ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ ζήσεται ὁ ἄνθρωπος, καὶ γνώσῃ τῇ καρδίᾳ σου, ὡς εἴ τις ἄνθρωπος παιδεύσει τὸν υἱὸν αὐτοῦ, οὕτω κύριος ὁ θεός σου παιδεύσει σε, ἵνα εὖ σε ποιήσῃ ἐπ᾽ ἐσχάτων σου.

## *Π$^2$2205 / PML$^b$ cap. Π 2, 2

Τοῦ αὐτοῦ·

Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω.

---

**6 – 12** ***Π$^2$2204** Μνήσθητι – ἄνθρωπος] Deut. 8, 2–3 (Wahl, *Deuteronomium-Text*, p. 122) **12 – 14** καὶ – σε$^1$] Ibid. 8, 5 (Wahl, p. 122) **14** ἵνα – σου] Ibid. 8, 16 (Wahl, p. 123) **17** ***Π$^2$2205** Deut. 32, 39$^3$ (Wahl, *Deuteronomium-Text*, p. 151)

---

**1 – 3** **Titlos** P (256vA25–29) M$^{pin}$ L$^{b\ pin}$ A$^{III\ pin}$ R; *deest in* M$^{txt\ (lac.)}$ L$^{b\ txt}$ T$^{(lac.)}$ H$^{III}$ A$^{III\ txt}$ **5 – 14** ***Π$^2$2204** P cap. Π 2, 1 (256vA[29]30–256vB17); R cap. Π 2, 1; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **16 – 17** ***Π$^2$2205** P cap. Π 2, 2 (256vB[17]18–19); *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R

---

**1** Τίτλος] *om.* PM$^{pin}$ L$^{b\ pin}$ R$^{pin}$ A$^{III\ pin}$ β′] *propt. mg. resect. non liquet in* A$^{III\ pin}$ *(*κα′ *secund. ser.)* **1 – 3** παρὰ – χρεών] *om.* M$^{pin}$

---

**7** τεσσαρακοστὸν R **7 – 8** πηρασει σε P **8** φυλαξει P **9** †οὗ†] *cruces apposui, sic* P R, καὶ ἐψώμισέν σε τὸ μάννα, ὃ *LXX* **11** ὁ] *om.* R **11 – 12** ἀλλ᾽ – ἄνθρωπος] *om.* P **14** εὖ σε] εὖ σοι R

## *II$^{2}$2206 / PML$^{b}$ cap. Π 2, 3

Ἀπὸ τοῦ Ἰώβ·

Ἀναστὰς Ἰὼβ διέρρηξεν τὰ ἱμάτια αὐτοῦ,
καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ,
καὶ πεσὼν χαμαί, προσεκύνησεν τῷ κυρίῳ, καὶ εἶπεν·
Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου,
γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ·
ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλατο·
ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο·
εἴη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας.
Ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ
οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον τοῦ κυρίου,
καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ θεῷ.

## *II$^{2}$2207 / PML$^{b}$ cap. Π 2, 4

Τοῦ αὐτοῦ·

Χρόνου πολλοῦ προβεβηκότος, εἶπεν τῷ Ἰὼβ ἡ γυνὴ αὐτοῦ·
Μέχρι τίνος καρτερήσεις, λέγων·
Ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρόν,
προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου;
Ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς,
υἱοὶ καὶ θυγατέρες, ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι,
οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων.
Σύ τε αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθῃ, διανυκτερεύων αἴθριος·
Κἀγὼ πλανῆτις καὶ λάτρις,

---

**3 – 13** ***II$^{2}$2206** Iob 1, 20$^{1}$–22$^{3}$ **16 – 970, 10** ***II$^{2}$2207** Iob 2, 9$^{1}$–10$^{5}$

---

**2 – 13** ***II$^{2}$2206** P cap. Π 2, 3 (256vB[19]20–257rA5); R cap. Π 2, 2; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **15 – 970, 10** ***II$^{2}$2207** P cap. Π 2, 4 (257rA[6]7–257rB16); *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^{2}$2206** Ἀπὸ τοῦ] *om.* P ἰώβ P

**3** ἰωβ P **11** τούτοις] *om.* P **12** ἰωβ P τοῖς χείλεσιν] *om.* P **12 – 13** κυρίου – θεῷ] θεοῦ R **16** ἰωβ P **22** καινον P

τόπον ἐκ τόπου περιερχομένη καὶ οἰκίαν ἐξ οἰκίας
προσδεχομένη τὸν ἥλιον πότε δύσεται,
ἵνα ἀναπαύσωμαι τῶν μόχθων καὶ τῶν ὀδυνῶν,
αἵ με νῦν ἔχουσιν.
Ἀλλ' εἶπον τι ῥῆμα πρὸς κύριον καὶ τελεύτα.
Ὁ δὲ ἐμβλέψας αὐτῇ εἶπεν·
Ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν λελάληκας·
εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς κυρίου, τὰ κακὰ οὐχ' ὑποίσομεν;
Ἐν τούτοις πᾶσιν τοῖς συμβεβηκόσιν αὐτῷ
οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον τοῦ θεοῦ.

## *ΙΙ²2208 / PML^b cap. Π 2, 5

Τοῦ αὐτοῦ·

Μακάριος ἄνθρωπος, ὃν ἤλεγξεν ὁ κύριος·
νουθέτημα δὲ παντοκράτορος μὴ ἀπαναίνου.
Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ καὶ πάλιν ἀποκαθίστησιν·
ἔπαισεν, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο.

## *ΙΙ²2209 / PML^b cap. Π 2, 6

Τοῦ αὐτοῦ·

Εἶπεν ὁ κύριος ἐκ τοῦ νέφους τῷ Ἰώβ·
Ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφῦν σου,
ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι·
μὴ ἀποποιοῦ μοι τὸ κρῖμα.
Οἴει δέ με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος;

---

**13 – 16** ***ΙΙ²2208** Iob 5, 17¹–18² **19 – 23** ***ΙΙ²2209** Iob 40, 6–8²

---

**12 – 16** ***ΙΙ²2208** P cap. Π 2, 5 (257rB[16]17–25); R cap. Π 2, 3; *deest in* M^(lac.) L^b T^(lac.) H^III **18 – 23** ***ΙΙ²2209** P cap. Π 2, 6 (257rB[25]26–36); R cap. Π 2, 4; *deest in* M^(lac.) L^b T^(lac.) H^III

---

**1** οἰκίαν] *scripsi*, οἰκείαν P οἰκίας] *scripsi*, οἰκείας P **5** εἶπον τι] *scripsi*, ειποντι P **7** μιᾶ P **10** ϊωβ P **16** ἔπεσεν P ἰάσαντο] *praem.* πάλιν R **19** ϊωβ P **20** οσφυν σου P **21** δέ μοι] μου P **22** ἀποποιοῦ μου R κρίμα P

## *Π$^2$2210 / PML$^b$ cap. Π 2, 7

Δαυῒδ ἐν ψαλμῷ β′·

Δράξασθε παιδείας, μήποτε ὀργισθῇ κύριος
καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας,
ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ.

## *Π$^2$2211 / PML$^b$ cap. Π 2, 8

Ψαλμοῦ ϛ′·

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με,
μὴ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
Ἐλέησόν με, κύριε, ὅτι ἀσθενής εἰμι·
ἴασαί με, κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου,
καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα·
καὶ σύ, κύριε, ἕως πότε;
Ἐπίστρεψον, κύριε, ῥῦσαι τὴν ψυχήν μου,
σῶσόν με ἕνεκεν τοῦ ἐλέου<ς> σου.
Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου·
ἐν δὲ τῷ Ἅδῃ τίς ἐξομολογήσεται;
Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου,
λούσω καθ’ ἑκάστην νύκτα τὴν κλίνην μου,
ἐν δάκρυσίν μου τὴν στρωμνήν μου βρέξω.

---

**3 – 5 *Π$^2$2210** Ps. 2, $12^{1-3}$ **8 – 20 *Π$^2$2211** Ps. 6, $2^1$–$7^3$

---

**2 – 5 *Π$^2$2210** P cap. Π 2, 7 (257vA[1]2–7); R cap. Π 2, 5; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **7 – 20 *Π$^2$2211** P cap. Π 2, 8 (257vA[7]8–32); R cap. Π 2, 6; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***Π$^2$2210** (a) P (b) Ψαλμὸς β$^{τρ′}$ R ***Π$^2$2211** ψαλμὸς R

---

**3 – 5** μήποτε – τάχει] ἕως R **9 – 20** μὴ – μου$^1$] ἕως R **14** ῥῦσαι] *scripsi*, ρυσαι P **15** *scripsi*, ἐλεουσου P **16** μνημονεύων σου] *scripsi (LXX)*, μνημόνευόν σοι P **17** ἅδη P **18** στεναγμῷ μου] *scripsi (LXX)*, στεναγμω σου P

## *II$^2$2212 / PML$^b$ cap. Π 2, 9

Ψαλμοῦ ιζʹ·

Ἡ παιδεία σου ἀνώρθωσέν με εἰς τέλος,
καὶ ἡ παιδ<ε>ία σου, αὐτή με <***>.

## *II$^2$2213 / PML$^b$ cap. Π 2, 10

Ψαλμοῦ κθʹ·

Ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ,
καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ.

## *II$^2$2214 / PML$^b$ cap. Π 2, 11

Ψαλμοῦ ληʹ·

Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον,
καὶ ἐξέτηξας ὡς ἀράχνην <***>.

## *II$^2$2215 / PML$^b$ cap. Π 2, 12

Ψαλμοῦ ξεʹ·

Ἐδοκίμασας ἡμᾶς, ὁ θεός,

---

**3 – 4** ***II$^2$2212** Ps. 17, 36$^{3-4}$ **7 – 8** ***II$^2$2213** Ps. 29, 6$^{1-2}$ **11 – 12** ***II$^2$2214** Ps. 38, 12$^{1-2}$ **15 – 973, 6** ***II$^2$2215** Ps. 65, 10$^1$–12$^3$

---

**2 – 4** ***II$^2$2212** P cap. Π 2, 9 (257vA[32]33–36); R cap. Π 2, 7; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **6 – 8** ***II$^2$2213** P cap. Π 2, 10 ([257vA36]257vB1–3); R cap. Π 2, 8; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **10 – 12** ***II$^2$2214** P cap. Π 2, 11 (257vB[4]4–7); R cap. Π 2, 9; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **14 – 973, 6** ***II$^2$2215** P cap. Π 2, 12 (257vB[8]8–22); R cap. Π 2, 10; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2212** ψαλμὸς R ***II$^2$2213** ψαλμὸς R ***II$^2$2214** ψαλμὸς R ***II$^2$2215** ψαλμὸς R

---

**4** καὶ – με] *om.* R παιδεία σου] *scripsi*, παιδια σου P *post* αὐτή με *unum minimum vocabulum excidisse videtur (*διδάξει *LXX)* **8** θελημα P **12** καὶ – ἀράχνην] *om.* R *post* ἀράχνην *quaedam excidisse videntur (*τὴν ψυχὴν αὐτοῦ *LXX)*

ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον·
εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα,
ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν.
Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν,
διήλθομεν διὰ πυρὸς καὶ ὕδατος,
καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

## *II$^{2}$2216 / PML$^{b}$ cap. Π 2, 13

Ψαλμοῦ οʹ·

Ὁ θεός, τίς ὅμοιός σοι;
Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς,
καὶ ἐπιστρέψας ἐζωοποίησάς με,
καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.
Ἐπλεόνασας ἐπ᾽ ἐμὲ τὴν μεγαλοσύνην σου,
καὶ ἐπιστρέψας παρεκάλεσάς με.

## *II$^{2}$2217 / PML$^{b}$ cap. Π 2, 14

Ψαλμοῦ ϙγʹ·

Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, κύριε,
καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν,
τοῦ πραΰναι αὐτὸν ἀφ᾽ ἡμερῶν πονηρῶν
ἕως οὗ ὀρυγῇ <***>.

---

**9 – 14** ***II$^{2}$2216** Ps. 70, 19$^{2}$–21$^{2}$ **17 – 20** ***II$^{2}$2217** Ps. 93, 12$^{1}$–13$^{2}$

---

**8 – 14** ***II$^{2}$2216** P cap. Π 2, 13 (257vB[22]23–34); R cap. Π 2, 11; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **16 – 20** ***II$^{2}$2217** P cap. Π 2, 14 (257vB[35]35–258rA5); R cap. Π 2, 12; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2216** ψαλμὸς R ***II$^{2}$2217** ψαλμὸς R

---

**1 – 6** ὡς – ἡμᾶς] ἕως R **9** ομοῖος σου P **11 – 14** καὶ – ἐπιστρέψας] ἕως R **17** παιδεύσεις P **18 – 20** καὶ – ὀρυγῇ] *om.* R **20** *post* ὀρυγῇ *quaedam excidisse videntur (*τῷ ἁμαρτωλῷ βόθρος *LXX)*

## *Π$^2$2218 / PML$^b$ cap. Π 2, 15

Ψαλμοῦ ριζʹ·

Παιδεύων ἐπαίδευσέν με ὁ κύριος,
καὶ τῷ θανάτῳ οὐ παρέδωκέν με.

## *Π$^2$2219 / PML$^b$ cap. Π 2, 16

Ψαλμοῦ ριηʹ·

Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με,
ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

## *Π$^2$2220 / PML$^b$ cap. Π 2, 17

Ὠσηὲ προφήτου·

Ἐγὼ παιδευτὴς ὑμῶν εἰμί, λέγει κύριος.

## *Π$^2$2221 / PML$^b$ cap. Π 2, 18

Τοῦ αὐτοῦ·

Πόλεμος ἐπὶ τέκνα ἀδικίας ἦλθεν, παιδεῦσαι αὐτοὺς ἐν ταῖς ἀδικίαις αὐτῶν.

---

**3 – 4** ***Π$^2$2218** Ps. 117, 18$^{1–2}$ **7 – 8** ***Π$^2$2219** Ps. 118, 71$^{1–2}$ **11** ***Π$^2$2220** Ἐγὼ – εἰμί] Os. 5, 2 (Wahl, *Prophetenzitate*, p. 156) λέγει κύριος] cf. ibid. 3, 1 **14 – 15** ***Π$^2$2221** Os. 10, 9–10 (Wahl, *Prophetenzitate*, p. 169–170)

---

**2 – 4** ***Π$^2$2218** P cap. Π 2, 15 (258rA[6]6–9); R cap. Π 2, 13; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **6 – 8** ***Π$^2$2219** P cap. Π 2, 16 (258rA[9]10–13); R cap. Π 2, 14; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **10 – 11** ***Π$^2$2220** P cap. Π 2, 17 (258rA[13]14–15); R cap. Π 2, 15; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **13 – 15** ***Π$^2$2221** P cap. Π 2, 18 (258rA[15]16–19); R cap. Π 2, 16; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***Π$^2$2218** ψαλμὸς R ***Π$^2$2219** (a) P (b) Ψαλμὸς ριζʹ R ***Π$^2$2220** ωσιε P προφήτου] *om.* R

---

**11** ὑμῶν εἰμι P

## *II$^2$2222 / PML$^b$ cap. Π 2, 19

Ναοὺμ προφήτου·

Τί λογίζεσθε ἐπὶ κύριον; Συντέλειαν αὐτὸς ποιήσεται, καὶ οὐκ ἐκδικήσεται δὶς ἐπιτοαυτὸ ἐν θλίψει.

## *II$^2$2223 / PML$^b$ cap. Π 2, 20

Σοφονίου προφήτου·

Φοβεῖσθε με καὶ δέξασθε παιδείαν, λέγει κύριος παντοκράτωρ, καὶ οὐ μὴ ἐξολοθρευθῆτε ἐξ ὀφθαλμῶν τῆς γῆς.

## *II$^2$2224 / PML$^b$ cap. Π 2, 21

Ἡσαΐου προφήτου·

Ὅταν ὀργὴ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι.

## *II$^2$2225 / PML$^b$ cap. Π 2, 22

Τοῦ αὐτοῦ·

Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.

---

**3 – 4** ***II$^2$2222** Nah. 1, 9 (Wahl, *Prophetenzitate*, p. 229) **7 – 8** ***II$^2$2223** Soph. 3, 7 et 2, 9 (Wahl, *Prophetenzitate*, p. 245–246) **11** ***II$^2$2224** Is. 7, 4 (Wahl, *Prophetenzitate*, p. 311) **14 – 15** ***II$^2$2225** Is. 26, 16 (Wahl, *Prophetenzitate*, p. 349–350)

---

**2 – 4** ***II$^2$2222** P cap. Π 2, 19 (258rA[20]21–26); R cap. Π 2, 17; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **6 – 8** ***II$^2$2223** P cap. Π 2, 20 (258rA[26]27–32); R cap. Π 2, 18; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **10 – 11** ***II$^2$2224** P cap. Π 2, 21 (258rA[32]33–35); R cap. Π 2, 19; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **13 – 15** ***II$^2$2225** P cap. Π 2, 22 (258rA[35]36–258rB3); R cap. Π 2, 20; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2222** προφήτου] *om.* R ***II$^2$2223** Σοφονίου] *scripsi*, σοφωνίου P, σοφω$^v$ R προφήτου] *om.* R ***II$^2$2224** προφήτου] *om.* R

---

**3** λογιζεσθαι P **8** τῆς γῆς] *sic* P R, αὐτῆς *LXX* **15** ἡμῖν] *om.* R

## *II$^2$2226 / PML$^b$ cap. Π 2, 23

Τοῦ αὐτοῦ·

Εὐλογήσω σε, κύριε, διότι ὠργίσθης μοι, καὶ ἀπέστρεψας τὸν θυμόν σου, καὶ ἠλέησάς με.

## *II$^2$2227 / PML$^b$ cap. Π 2, 24

Τοῦ αὐτοῦ·

Παιδευθήσῃ κρίματι θεοῦ καὶ εὐφρανθήσῃ. Οὐ γὰρ μετὰ σκληρότητος καθαίρεται τὸ μελάνθιον, οὐδὲ τροχὸς ἁμάξης περιάξει ἐπὶ τὸ κύμινον, ἀλλὰ ῥάβδῳ τινάσσεται τὸ μελάνθιον, τὸ δὲ κύμινον βακτηρίᾳ, καὶ μετὰ ἄρτου βρωθήσεται. Οὐ γὰρ εἰς τὸν αἰῶνα ἐγὼ ὑμῖν ὀργισθήσομαι, οὐδὲ φωνὴ τῆς πικρίας μου καταπατήσει ὑμᾶς. Καὶ ταῦτα παρὰ κυρίου Σαβαὼθ ἐξῆλθεν τὰ τέρατα.

## *II$^2$2228 / PML$^b$ cap. Π 2, 25

Τοῦ αὐτοῦ·

Ἐπάξω τὴν χεῖρα μου ἐπὶ σέ, καὶ πυρώσω σε εἰς καθαρόν, τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω.

---

**3 – 4** ***II$^2$2226** Is. 12, 1 (Wahl, *Prophetenzitate*, p. 327) **7 – 12** ***II$^2$2227** Is. 28, 26–29 (Wahl, *Prophetenzitate*, p. 356) **15 – 16** ***II$^2$2228** Is. 1, 25 (Wahl, *Prophetenzitate*, p. 289)

---

**2 – 4** ***II$^2$2226** P cap. Π 2, 23 (258rB[3]4–8); R cap. Π 2, 21; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **6 – 12** ***II$^2$2227** P cap. Π 2, 24 (258rB8–27); R cap. Π 2, 22; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **14 – 16** ***II$^2$2228** P cap. Π 2, 25 (258rB[27]28–32); R cap. Π 2, 23; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2227** (a) R (b) *s. a.* P

---

**7** εὐφρανθήσῃ] P R$^{in\ mg.}$, διδαχθήσηι R$^{txt}$ **12** τέρατα] πέρατα R

## *II$^{2}$2229 / PML$^{b}$ cap. Π 2, 26

Τοῦ αὐτοῦ·

Τάδε λέγει κύριος ὕψιστος, ὁ ἐν ὑψηλοῖς κατοικῶν τὸν αἰῶνα ἅγιος, καὶ διδοὺς ζωὴν τοῖς συντετριμμένοις τὴν καρδίαν· Οὐκ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς, οὐδὲ διαπαντὸς ὀργισθήσομαι ὑμῖν· πνεῦμα γὰρ παρ᾽ ἐμοῦ ἐξελεύσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα. Δι᾽ ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτόν, καὶ ἐπάταξα αὐτόν, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ᾽ αὐτοῦ, καὶ ἐλυπήθη καὶ ἐπορεύθη στυγνὸς ἐν ταῖς ὁδοῖς αὐτοῦ. Τὰς ὁδοὺς αὐτοῦ ἑώρακα, καὶ ἰασάμην αὐτόν, καὶ παρεκάλεσα αὐτόν, καὶ ἔδωκα αὐτῷ παράκλησιν ἀληθινήν, εἰρήνην ἐπὶ εἰρήνην τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν οὖσιν, καὶ εἶπε κύριος· Ἴαμαι αὐτόν.

## *II$^{2}$2230 / PML$^{b}$ cap. Π 2, 27

Ἱερεμίου προφήτου·

Πόνῳ καὶ μάστιγι παιδεύθητι, Ἱερουσαλήμ, μὴ ἀποστῇ ἡ ψυχή μου ἀπὸ σοῦ, μὴ ποιήσω σε γῆν ἄβατον, ἥτις οὐ κατοικισθήσεται.

## *II$^{2}$2231 / PML$^{b}$ cap. Π 2, 28

Τοῦ αὐτοῦ·

Παίδευσον ἡμᾶς, κύριε, πλὴν ἐν κρίσει καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλίγους ἡμᾶς ποιήσῃς.

---

**3 – 12** ***II$^{2}$2229** Is. 57, 15–19 (Wahl, *Prophetenzitate*, p. 446–448) **15 – 16** ***II$^{2}$2230** Ier. 6, 7–8 (Wahl, *Prophetenzitate*, p. 500–501) **19 – 20** ***II$^{2}$2231** Ier. 10, 24 (Wahl, *Prophetenzitate*, p. 522)

---

**2 – 12** ***II$^{2}$2229** P cap. Π 2, 26 (258rB[32]33–258vA28); R cap. Π 2, 24; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **14 – 16** ***II$^{2}$2230** P cap. Π 2, 27 (258vA[29]30–36); R cap. Π 2, 25; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **18 – 20** ***II$^{2}$2231** P cap. Π 2, 28 ([258vA36] 258vB1–5); R cap. Π 2, 26; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2229** αὐτοῦ] *add.* ησαϊου P ***II$^{2}$2230** ϊηρεμιου P προφήτου] *om.* R

---

**4** συμτετριμμενοις P

## *Π$^{2}$2232 / PML$^{b}$ cap. Π 2, 29

Τοῦ αὐτοῦ·

Μὴ γένῃ μοι εἰς ἀλλοτρίωσιν, φειδόμενός μου.

## *Π$^{2}$2233 / PML$^{b}$ cap. Π 2, 30

<***>

Ἀκοὴν ἤκουσα Ἐφραὶμ ὀδυρομένου· Ἐπαίδευσάς με, καὶ ἐπαιδεύθην· ἐγὼ ὥσπερ μόσχος οὐκ ἐδιδάχθην· ἐπίστρεψόν με, καὶ ἐπιστρέψω, ὅτι σὺ κύριος ὁ θεός μου, ὅτι ὕστερον αἰχμαλωσίας μου μετενόησα, καὶ ὕστερον τοῦ γνῶναι με, ἐστέναξα ἐφ᾽ ἡμέρας αἰσχύνης, καὶ ὑπέδειξά σοι ὅτι ἔλαβον ὀνειδισμὸν ἐκ νεότητός μου. Υἱὸς ἀγαπητὸς ἐμοὶ Ἐφραίμ, παιδίον ἐντρυφῶν, ὅτι ἀνθ᾽ ὧν οἱ λόγοι μου ἐν αὐτῷ, ἐλεῶν ἐλεήσω αὐτόν, φησὶν κύριος.

## *Π$^{2}$2234 / PML$^{b}$ cap. Π 2, 31

Τοῦ αὐτοῦ·

Ὁ ταπεινώσας οἰκτειρήσει κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ.

---

**3** ***Π$^{2}$2232** Ier. 17, 17 (Wahl, *Prophetenzitate*, p. 534) **6 – 12** ***Π$^{2}$2233** Ier. 38, 18–20 (Wahl, *Prophetenzitate*, p. 565–566) **15** ***Π$^{2}$2234** Thren. 3, 32 (Wahl, *Prophetenzitate*, p. 604–605)

---

**2 – 3** ***Π$^{2}$2232** P cap. Π 2, 29 (258vB[5]6–8); R cap. Π 2, 27; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **5 – 12** ***Π$^{2}$2233** P cap. Π 2, 30 (258vB8–30); R cap. Π 2, 28; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **14 – 15** ***Π$^{2}$2234** P cap. Π 2, 31 (258vB[30]31–33); R cap. Π 2, 29; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***Π$^{2}$2233** *s. d.* P R

---

**3** γένῃ μοι] γένη μοι P$^{ut\ videtur}$, γένοιμϊ R **6** Ἐφραὶμ] *scripsi*, εφραιμ P, εὐφραΐμ R **7 – 8** ἐπιστρέφω R **8** κύριος] κύριε R θεός μου] *add.* δεσπότης μου R **11** Ἐφραίμ] *scripsi*, εφραιμ P, εὐφραὶμ R **15** οἰκτειρήσει] *sic* P R

## *Π$^{2}$2235 / PML$^{b}$ cap. Π 2, 32

Τοῦ αὐτοῦ·

Ἀνάβητε ἐπὶ τοὺς προμαχῶνας αὐτῆς καὶ κατασκάψατε, συντέλειαν δὲ οὐ μὴ ποιήσητε· ὑπολείπεσθε τὰ ὑποστηρίγματα αὐτῆς, ὅτι τοῦ κυρίου εἰσίν.

## *Π$^{2}$2236 / PML$^{b}$ cap. Π 2, 33

Δανιὴλ προφήτου·

Ἐν τῷ ναῷ τῆς βασιλείας αὐτοῦ ἐν Βαβυλῶνι περιπατῶν, ἀπεκρίθη ὁ βασιλεὺς Ναβουχοδονόσορ, καὶ εἶπεν· Οὐκ αὐτὴ ἐστὶν Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ ᾠκοδόμησα εἰς οἶκον βασιλείας ἐν τῷ κράτει τῆς ἰσχύος μου, εἰς τιμὴν τῆς δόξης μου; Ἔτι τοῦ λόγου ἐν τῷ στόματι τοῦ βασιλέως ὄντος, φωνὴ ἀπ’ οὐρανοῦ ἐγένετο· Σοὶ λέγεται, Ναβουχοδονόσορ· ἡ βασιλεία σου παρῆλθεν ἀπὸ σοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων σε διώξουσιν, καὶ μετὰ θηρίων ἀγρίων ἡ κατοικία σου, χόρτον ὡς βοῦν ψωμιοῦσιν σε, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σέ, ἕως οὗ ἐπιγνῷς ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν αὐτῷ δόξῃ, δώσει αὐτήν. Αὐτῇ τῇ ὥρᾳ συνετελέσθη ἐπὶ Ναβουχοδονόσορ καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ χόρτον ὡς βοῦς ἤσθιεν, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως αἱ τρίχες αὐτοῦ ὡς λεόντων ἐμεγαλύνθησαν, καὶ οἱ ὄνυχες αὐτοῦ ὡς ὀρνέων. Καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ἐγὼ Ναβουχοδονόσορ τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἀνέλαβον, καὶ αἱ φρένες μου ἐπ’ ἐμὲ ἐπεστράφησαν, καὶ τῷ ὑψίστῳ εὐλόγησα, καὶ τῷ ζῶντι εἰς τὸν αἰ-

**3 – 5** ***Π$^{2}$2235** Ier. 5, 10 (Wahl, *Prophetenzitate*, p. 494) **8 – 980, 13** ***Π$^{2}$2236** Dan. 4, 26–34 (Wahl, *Prophetenzitate*, p. 685–688)

**2 – 5** ***Π$^{2}$2235** P cap. Π 2, 32 (258vB[34]34–259rA6); *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R
**7 – 980, 13** ***Π$^{2}$2236** P cap. Π 2, 33 (259rA[7]8–259vA35); R cap. Π 2, 30; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

**4** ὑπολείπεσθε] *scripsi*, ὑπολείπεσθαι P **9** ναβουχοδονόσωρ (-οσωρ P) P R$^{a. c.}$ Οὐκ αὐτὴ] *sic* R, ουκ’ αυτη P, οὐχ αὕτη *ed. (θ')* **11** τῆς$^{2}$] *om.* P **12** ἀπ’] ἀπὸ P **13** ναβουχοδονοσωρ P **18** ναβουχοδονοσωρ P **22** ναβουχοδονόσωρ P **24** ηὐλόγησα R

ῶνα ᾔνεσα καὶ ἐδόξασα, ὅτι ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν, καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν εἰς οὐδὲν ἐλογίσθησαν· κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν δυνάμει τοῦ οὐρανοῦ καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς, καὶ οὐκ ἔστιν ὃς ἀντιποιήσεται τῇ χειρὶ αὐτοῦ, καὶ ἐρεῖ αὐτῷ· Τί ἐποίησας; Αὐτῷ τῷ καιρῷ αἱ φρένες μου ἐπεστράφησαν ἐπ' ἐμέ, καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον, καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ' ἐμέ, καὶ οἱ τύραννοί μου καὶ οἱ μεγιστάνες μου ἐζήτησάν με, καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ μεγαλωσύνη περισσοτέρα προσετέθη μοι. Νῦν οὖν ἐγώ, Ναβουχοδονόσορ, αἰνῶ καὶ ὑπερυψῶ καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ, ὅτι πάντα τὰ ἔργα αὐτοῦ ἀληθινά, καὶ αἱ τρίβοι αὐτοῦ κρίσις, καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι.

## *II²2237 / PMLᵇ cap. Π 2, 34

Σχόλιον·

Μάθωμεν ἐκ τοῦ ὑποδείγματος τούτου ὅτι πρὸς διόρθωσιν βίου παιδεύει ἡμᾶς ὁ κύριος, καὶ σωφρονήσωμεν καθάπερ οὗτος ἐν ἐξομολογήσει, ἵνα διαλλαγῇ καὶ ἡμῖν ὁ ἀγαθὸς ἡμῶν δεσπότης, καὶ μὴ ἀπολώμεθα τῇ ἀπειθείᾳ.

## *II²2238 / PMLᵇ cap. Π 2, 35

Σοφίας Σολομῶντος·

Σὺ δεσπόζων ἰσχύος ἐν ἐπιεικείᾳ κρίνεις,

---

**22 – 981, 1** Σὺ – ἡμᾶς] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 41.3./48.3. (ed. Ihm, p. 740)

---

**16 – 19** ***II²2237** *Scholion in Dan. 4, 26–34* **22 – 981, 2** ***II²2238** Σὺ – δύνασθαι] Sap. 12, 18[1]

---

**15 – 19** ***II²2237** P cap. Π 2, 34 (259vA[mg]36–259vB11); R cap. Π 2, 31; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **21 – 981, 5** ***II²2238** P cap. Π 2, 35 (259vB[11]12–27); R cap. Π 2, 32; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

**5** ἀντιποιήσηται P **6** ἐστράφησαν R **10** ναβουχοδονοσωρ P **12** κρίσεις P **17** καὶ] *om.* R **19** ἀπολώμεθα] *scripsi*, ἀπολλώμεθα *(-ω- P)* P R

καὶ μετὰ πολλῆς φειδοῦς διοικεῖς ἡμᾶς·
πάρεστιν γάρ σοι, ὅτε θέλεις, τὸ δύνασθαι.
Διατοῦτο τοὺς παραπίπτοντας κατ᾽ ὀλίγον ἐλέγχεις,
καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς,
ἵνα ἀπαλλαγέντες τῆς κακίας αὐτῶν, πιστεύσωσιν ἐπὶ σέ, κύριε.

## *$II^2$2239 / $PML^b$ cap. Π 2, 36

Τῆς αὐτῆς·

Ἡμᾶς παιδεύων τοὺς ἐχθροὺς ἡμῶν ἐν μυριότητι μαστιγοῖς,
ἵνα σου τὴν ἀγαθότητα μεριμνῶμεν κρίνοντες,
κρινόμενοι δὲ προσδοκῶμεν ἔλεος.

## *$II^2$2240 / $PML^b$ cap. Π 2, 37

Τοῦ Σιράχ·

Ἔλεος καὶ ὀργὴ παρὰ κυρίῳ,
δυνάστης ἐξιλασμῶν καὶ ἐκχέων ὀργὴν
κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ.

## *$II^2$2241 / $PML^b$ cap. Π 2, 38

Τοῦ αὐτοῦ·

Ὁ φοβούμενος κύριον ἐκδέξεται παιδείαν.

---

**3 – 5** Διατοῦτο – κύριε] Ibid. 12, $2^3$ **8 – 10** ***$II^2$2239** Sap. 12, $22^{1-3}$ **13 – 15** ***$II^2$2240** Sir. 16, $11^3$–$12^1$ (Wahl, *Sirach-Text*, p. 89) **18** ***$II^2$2241** Sir. 35, $14^1$ (Wahl, *Sirach-Text*, p. 143)

---

**7 – 10** ***$II^2$2239** P cap. Π 2, 36 (259vB[27]28–35); R cap. Π 2, 33; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ **12 – 15** ***$II^2$2240** P cap. Π 2, 37 (259vB[35]36–260rB4); R cap. Π 2, 34; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ **17 – 18** ***$II^2$2241** P cap. Π 2, 38 (260rA[5]5–7); R cap. Π 2, 35; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$

---

**2** ὅτε θέλεις] ὅταν θέλῃς P **18** εἰσδέξεται R

## *II$^2$2242 / PML$^b$ cap. Π 2, 39

Τοῦ αὐτοῦ·

Ἔλεος κυρίου ἐπὶ πᾶσαν σάρκα,
ἐλέγχων καὶ παιδεύων καὶ διδάσκων
καὶ ἐπιστρέφων ὡς ποιμὴν τὸ ποίμνιον αὐτοῦ,
καὶ τοὺς ἐκδεχομένους παιδείαν ἐλεᾷ.

## *II$^2$2243 / PML$^b$ cap. Π 2, 40

Ἰουδίθ·

Εὐχαριστήσωμεν κυρίῳ τῷ θεῷ ἡμῶν, ὃς πειράζει ἡμᾶς καθὰ καὶ τοὺς πατέρας ἡμῶν. Μνήσθητε ὅσα ἐποίησεν μετὰ Ἀβραάμ, καὶ οἷα ἐπείρασεν τὸν Ἰσαάκ, καὶ ὅσα Ἰακώβ· καὶ ἐπύρωσεν εἰς ἐτασμὸν τὰς καρδίας αὐτῶν, ὅτι εἰς νουθεσίαν μαστιγοῖ κύριος τοὺς ἐγγίζοντας αὐτῷ.

## *II$^2$2244 / PML$^b$ cap. Π 2, 41

Ἐκ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου·

Εἶπεν ὁ κύριος· Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι. Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτό,

---

**3 – 5** Ἔλεος – αὐτοῦ] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 16.4./4. (ed. Ihm, p. 382–383)

---

**3 – 6** ***II$^2$2242** Sir. 18, 13$^2$–14$^1$ (Wahl, *Sirach-Text*, p. 95) **9 – 13** ***II$^2$2243** Iudith 8, 25–27 (quibusdam omissis) **16** ***II$^2$2244** Εἶπεν – κύριος] cf. Ioh. 14, 23 **16 – 983, 2** Ἐγὼ – φέρῃ] Ibid. 15, 1–2

---

**2 – 6** ***II$^2$2242** P cap. Π 2, 39 (260rA[7]8–15); R cap. Π 2, 36; *deest in* M$^{\text{(lac.)}}$ L$^b$ T$^{\text{(lac.)}}$ H$^{III}$ **8 – 13** ***II$^2$2243** P cap. Π 2, 40 (260rA[15]16–29); R cap. Π 2, 37; *deest in* M$^{\text{(lac.)}}$ L$^b$ T$^{\text{(lac.)}}$ H$^{III}$ **15 – 983, 2** ***II$^2$2244** P cap. Π 2, 41 (260rA[30]31–260rB4); R cap. Π 2, 38; *deest in* M$^{\text{(lac.)}}$ L$^b$ T$^{\text{(lac.)}}$ H$^{III}$

---

***II$^2$2243** ϊουδίθ P ***II$^2$2244** ϊωάννην P Εὐαγγελίου] *om.* R

---

**6** ἐλεεῖ R **10** ἁβραὰμ R **11** ϊσαακ P ϊακὼβ P

καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτό, ἵνα πλείονα καρπὸν φέρῃ·

## *II$^{2}$2245 / PML$^{b}$ cap. Π 2, 42

Ἐκ τοῦ αὐτοῦ·

Εἶπεν ὁ κύριος τῷ παραλυτικῷ· Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρον τί σοι γένηται.

## *II$^{2}$2246 / PML$^{b}$ cap. Π 2, 43

Ἐκ τῆς πρὸς Κορινθίους α′ ἐπιστολῆς·

Εἰ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δέ, ὑπὸ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

## *II$^{2}$2247 / PML$^{b}$ cap. Π 2, 44

Ἐκ τῆς πρὸς Ἑβραίους·

Οὔπω μέχρις αἵματος ἀντεκατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι, καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· Υἱέ, μὴ ὀλιγώρει παιδείας κυρίου, μὴ δὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει, μαστιγοῖ

---

**5 – 6** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 16.1./1. (ed. Ihm, p. 381–382)

---

**5 – 6** ***II$^{2}$2245** Ioh. 5, 14 **9 – 10** ***II$^{2}$2246** I Cor. 11, 31–32 **13 – 984, 11** ***II$^{2}$2247** Hebr. 12, 4–11

---

**4 – 6** ***II$^{2}$2245** P cap. Π 2, 42 (260rB[5]5–10); R cap. Π 2, 39; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **8 – 10** ***II$^{2}$2246** P cap. Π 2, 43 (260rB[11]12–18); R cap. Π 2, 40; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **12 – 984, 11** ***II$^{2}$2247** P cap. Π 2, 44 (260rB[19]20–260vA30); R cap. Π 2, 41; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2245** Ἐκ] *om.* R ***II$^{2}$2246** (a) P α′] *vix legi potest* (b) Πρὸς Κορινθίους R ***II$^{2}$2247** Ἐκ τῆς] *om.* R εβραίους P

---

**14** ἐκλέλησте R **16** ἐλεγχόμενος] παιδευόμενος R

δὲ πάντα υἱὸν ὃν παραδέχεται. Εἰς παιδείαν ὑπομένετε· ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ θεός. Τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει πατήρ; Εἰ δὲ χωρὶς ἐστὲ παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστέ, καὶ οὐχ’ υἱοί. Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρεπόμεθα· οὐ πολὺ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν; Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον, ὁ δὲ ἐπὶ τὸ συμφέρον εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρόν, οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης, ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι’ αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης.

## *Π$^{2}$2248 / PML$^{b}$ cap. Π 2, 45

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς·

Ὑπόδειγμα λάβετε, ἀδελφοί, τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας, τοὺς προφήτας, οἳ ἐλάλησαν ἡμῖν ἐν τῷ ὀνόματι κυρίου. Ἰδοὺ μακαρίζομεν τοὺς ὑπομείναντας· τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος κυρίου εἴδετε, ὅτι πολυεύσπλαγχνος ἐστὶν ὁ κύριος καὶ οἰκτίρμων.

---

**14 – 15** Ὑπόδειγμα – κυρίου] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 71.2./42.2. (ed. Ihm, p. 1039)

---

**14 – 18** ***Π$^{2}$2248** Iac. 5, 10–11

---

**13 – 18** ***Π$^{2}$2248** P cap. Π 2, 45 (260vA[31]32–260vB10); R cap. Π 2, 42; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***Π$^{2}$2248** ϊακώβου P

---

**1** Εἰς] ἧς R  ὑπομένεται P **2** προσφέρει R **3** ἆρα P **4** οὐχ’ υἱοί] οὐχὶ υἱοί R **5** πολλῶ R **15** ἐν τῷ] το P **16** ϊωβ P **17** ϊδετε P  πολυσπλαγχνος ἐστὶν P

## *II$^2$2249 / PMLᵇ cap. Π 2, 46

Κλήμεντος Ῥώμης·

Ἀγαθῇ κυρίου προνοίᾳ ὁ προειληφὼς διοικεῖσθαι τὸν κόσμον οὐκ ἄχθεται ἐπὶ τοῖς ὅπως ποτὲ ἀπαντῶσι πράγμασιν, ἀποδεδωκὼς ὅτι ὑπὸ τῆς τοῦ κρείττονος οἰκονομίας συμφερόντως τὰ πράγματα τὴν ἔκβασιν λαμβάνει. Ὅθεν δίκαιον γνοὺς εἶναι αὐτὸν καὶ εὐσυνειδήτως βιούς, τὸ προσπίπτον λυπηρὸν οἶδεν ὀρθῷ λόγῳ ἀποσείεσθαι τῆς ψυχῆς, ὅτι πρὸς ἀγαθοῦ τινὸς ἀγνώστου συντελούμενον ἐλθεῖν ἔχει.

## *II$^2$2250 / PMLᵇ cap. Π 2, 47

Τοῦ Θεολόγου, ἐκ τοῦ εἰς Ἀθανάσιον·

Καὶ ὄντως πληγὴ τοῖς εὖ φρονοῦσι παίδευμα γίνεται, καὶ κρεῖττον εὐημερίας πολλάκις κακοπάθεια.

## *II$^2$2251 / PMLᵇ cap. Π 2, 48

Τοῦ αὐτοῦ, πρὸς τὸν ἄρχοντα καὶ τοὺς πολιτευομένους·

Σωφρόνων ἀνδρῶν οἵτινες παιδεύονται ταῖς συμφοραῖς καὶ ὡς χρυσὸς πυρὶ καθαιρόμενοι λέγουσιν· *Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς*

---

**17 – 986, 1** Ps. 118, 71$^{1-2}$

---

**3 – 9** ***II$^2$2249** Ps.-Clemens Romanus, *Homilia* β 36,2–3 (ed. Rehm†/Strecker, p. 50, 15–21); Holl, n° 5 **12 – 13** ***II$^2$2250** Gregorius Nazianzenus, re vera *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 55, 3–5 (ed. Bernardi, p. 240) **16 – 986, 5** ***II$^2$2251** Gregorius Nazianzenus, *Ad praefectum et cives Nazianzenos (Orat. 17)*, 5 (PG 35, 972, 12–21)

---

**2 – 9** ***II$^2$2249** P cap. Π 2, 46 (260vB[10]11–32); R cap. Π 2, 43; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$ **11 – 13** ***II$^2$2250** P cap. Π 2, 47 (260vB[33]34–261rA3); *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$ R **15 – 986, 5** ***II$^2$2251** P cap. Π 2, 48 (261rA[4]5–26); R cap. Π 2, 44; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2251** αὐτοῦ] θεολόγου R πολιτευομένους] πολη$^{τ}$ P

---

**3** ὁ] *om.* P **4** οπως ποτε P **8** λόγῳ] τῷ λογισμῷ *ed.* **9** συντελούμενος R **12** εὐφρονοῦσι P κρείττων *ed.*

*με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου*, ὡς τικτούσης τῆς ταπεινώσεως τὸ γινώσκειν τὰ δικαιώματα κυρίου. Καὶ τὸ τοῦ Πέτρου πάσχουσι <***>, μᾶλλον δ’ ἔτι προσχωροῦσι θεῷ διὰ τὸ ἀλγεῖν, καὶ τὸν εὐεργέτην οἰκειοῦνται διὰ τῆς θλίψεως, ἐπειδὴ κάμνουσα ψυχὴ ἐγγύς ἐστι θεοῦ.

## *Π$^{2}$2252 / PML$^{b}$ cap. Π 2, 49

Ἐκ τοῦ αὐτοῦ·

Ἄνω νεύωμεν, ἀδελφοί· ἐν παντὶ καιρῷ καὶ πάσῃ περιστάσει προβαλλώμεθα τὴν καλὴν ἐλπίδα, μήτε ἐν ταῖς εὐθυμίαις ἀποβάλλωμεν τὸν φόβον, μήτε ἐν τοῖς λυπηροῖς τὸ εὔελπι.

## *Π$^{2}$2253 / PML$^{b}$ cap. Π 2, 50

Τοῦ αὐτοῦ·

Μνησθῶμεν καὶ ἐν εὐδίᾳ τῆς ζάλης, καὶ ἐν χειμῶνι τοῦ κυβερνήτου· ἀλλὰ μὴ ταῖς θλίψεσιν ἐκκακήσωμεν, καὶ μήτε διὰ τὰς συμφορὰς πίπτωμεν, μήτε διὰ τὸν κόρον ὑβρίσωμεν.

---

**2** τὸ$^{2}$ – Πέτρου] cf. Matth. 14, 30

---

**8 – 10** ***Π$^{2}$2252** Gregorius Nazianzenus, *Ad praefectum et cives Nazianzenos (Orat. 17)*, 5 (PG 35, 972, 23–27) **13 – 14** ***Π$^{2}$2253** Μνησθῶμεν – ἐκκακήσωμεν] Gregorius Nazianzenus, *Ad praefectum et cives Nazianzenos (Orat. 17)*, 5 (PG 35, 972, 27–29) **14 – 15** καὶ – ὑβρίσωμεν] Ibid. (PG 35, 972, 34–35)

---

**7 – 10** ***Π$^{2}$2252** P cap. Π 2, 49 (261rA[27]28–261rB2); R cap. Π 2, 45; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **12 – 15** ***Π$^{2}$2253** P cap. Π 2, 50 (261rB2–11); R cap. Π 2, 46; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***Π$^{2}$2252** Ἐκ] *om.* R ***Π$^{2}$2253** (a) R (b) *s. a.* P

---

**3** πάσχουσι] *forsan quaedam exciderunt* (ἐπικαλεσαμένου τὴν σωτηρίαν ἐν τῷ μέλλειν καταδύεσθαι *ed.)* δ’ ἔτι] *scripsi*, δὲ ετι P, δέτι R **5** ψυχὴ – θεοῦ] θεῶι ἐγγὺς ἐστὶν ἡ ψυχή R ψυχὴ] *scripsi*, ψυχῆς P **9** μήτε] *praem.* καὶ P, *praem.* τῆς R, *sed eras.* **9 – 10** ἀποβαλλώμεθα R

## *Π²2254 / PMLᵇ cap. Π 2, 51

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς Ἥρωνα τὸν φιλόσοφον·

Γενναιότερον ἐκ τοῦ παθεῖν τὸ φιλόσοφον, ὥσπερ ψυχρῷ σίδηρος, οὕτω τοῖς κινδύνοις στομούμενον

## *Π²2255 / PMLᵇ cap. Π 2, 52

Τοῦ ἁγίου Βασιλείου, ἐκ τῶν εἰς τὸν προφήτην Ἡσαΐαν·

*Ὀλολύζετε*, φησὶν ὁ προφήτης· *ἐγγὺς γὰρ ἡ ἡμέρα κυρίου, καὶ συντριβὴ παρὰ κυρίου ἥξει* μετὰ τῶν ὁπλομάχων αὐτοῦ, καταφθεῖραι πᾶσαν τὴν οἰκουμένην. Διατοῦτο προστέτακται ὀλολυγμὸς καὶ θρῆνος, ἵνα διὰ τούτων δυσωπηθῇ ὁ θεὸς ἀποστρέψαι τὴν ἐπαγομένην ὀργήν. Ἀμφότερα γὰρ ποιεῖ ὁ φιλάνθρωπος· καὶ τὰ φοβερὰ ἀπειλεῖ, καὶ τοῖς μετανοοῦσιν οὐκ ἐπάγει τὰ ἠπειλημένα. *Κλαύσατε*, φησὶν ὁ προφήτης, καὶ *θρηνήσατε* ἕκαστος τὰ ἴδια ἁμαρτήματα, μήποτε πάθητε τὰ κεκηρυγμένα. Εἰ μὴ ἐβούλετο ὁ θεὸς τοῦ ἁμαρτωλοῦ τὴν μετάνοιαν καὶ διόρθωσιν, διατί ἐκηρύσσετο τῇ Νινευῇ μετὰ τρεῖς ἡμέρας ἀπώλεια; Ἀλλ' ἐπειδὴ εἶδεν αὐτῶν ὁ θεὸς τὸν συντριμμόν, παρήγαγεν τὴν ὀργήν, καὶ διεσκέδασεν ὥσπερ νέφος τὴν ἐπιτεταμένην ἀπώλειαν ὡς ἐλεήμων. *Παρ' αὐ-*

---

**3 – 4** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 32.8./8. (ed. Ihm, p. 649) **7 – 8** Is. 13, 6 **12 – 13** Ioel 1, 5 **15 – 16** ἐκηρύσσετο – ἀπώλεια] cf. Ion. 3, 4 **18 – 988, 1** Is. 13, 6

---

**3 – 4** ***Π²2254** GREGORIUS NAZIANZENUS, *In laudem Heronis philosophi (Orat. 25)*, 15, 15–17 (ed. Mossay/Lafontaine, p. 192) **7 – 8** ***Π²2255** Ὀλολύζετε – ἥξει] (PS.-)BASILIUS CAESARIENSIS, *Enarratio in prophetam Isaiam*, XIII, 261 (PG 30, 576, 37–38) **8 – 988, 2** μετὰ – ἄξια] IBID. (PG 30, 576, 41 – 577, 7)

---

**2 – 4** ***Π²2254** P cap. Π 2, 51 (261rB[12]13–18); R cap. Π 2, 47; *deest in* M^(lac.) Lᵇ T^(lac.) H^III **6 – 988, 2** ***Π²2255** P cap. Π 2, 52 (261rB[19]20–261vA29); R cap. Π 2, 48; *deest in* M^(lac.) Lᵇ T^(lac.) H^III

---

***Π²2254** ἐκ τοῦ] *om.* R ***Π²2255** ἐκ τῶν] *om.* P προφήτην] *om.* R

---

**3** γενναιότατον R **3 – 4** σίδηρον R **4** στομόμενον R^a. c. **7** ὀλολυζεται P **14** πάθητε] *scripsi (ed.)*, πάθετε P R **14 – 16** Εἰ – ἀπώλεια] *om.* R **16** νηνευη P αὐτὸν P **17** συντριμμενον R **18** ἐπιτεταμένην] *sic* R^a. c., ἐπιτεταμμένην P R^p. c.

τοῦ οὖν τοῦ *κυρίου ἥξει συντριβή*, χρησίμως συντρίβοντος τὰ ἀφανισμοῦ ἄξια.

## *Π²2256 / PMLᵇ cap. Π 2, 53

Τοῦ αὐτοῦ·

Οἱ ὑπομείναντες τὴν παιδευτικὴν ἐπίσκεψιν καὶ μὴ συντρίψαντες τὸν ζυγὸν τοῦ παίοντος ἐπὶ σωτηρίᾳ καὶ διορθώσει, οὗτοι *πτωχοὶ τῷ πνεύματι* χρηματίζοντες, βοσκηθήσονται διὰ τοῦ κυρίου, κατὰ τὴν πρόρρησιν αὐτοῦ. Τέλος γὰρ ἀγαθῆς παιδεύσεως νομὴ ἐστὶν σωτήριος ἐπηγγελμένη, περὶ ἧς φησὶν ὁ σωτὴρ ὅτι *Εἰσελεύσεται* ὁ τοιοῦτος *καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.*

---

**6 – 7** Matth. 5, 3 **7** βοσκηθήσονται – κυρίου] cf. Is. 14, 30 **9 – 10** Ioh. 10, 9

---

**5 – 10** ***Π²2256** (Ps.-)Basilius Caesariensis, *Enarratio in prophetam Isaiam*, XIV, 288 (PG 30, 624, 29–35)

---

**4 – 10** ***Π²2256** P cap. Π 2, 53 (261vA[29]30–261vB13); R cap. Π 2, 49; *deest in* M^(lac.) Lᵇ T^(lac.) H^III

---

**1** ἥξει – συντρίβοντος] ἥξει συντριβὴ χρησίμως· συντρίβοντος R τὰ] *om.* R **8** αὐτοῦ] *om.* P παιδεύσεως] παιδέσεως R **9** ἧς φησιν P

## Τίτλος γʹ Περὶ τῶν παιδείαν θεοῦ σωτήριον πρὸς διόρθωσιν μὴ δεχομένων.

III / par. 68 B

### *II²2257 / PML^b cap. Π 3, 1

Ἀπὸ τοῦ Λευϊτικοῦ·

Ἐὰν μὴ ὑπακούσητέ μου, μὴ δὲ ποιήσητε τὰ προστάγματά μου, ἀλλὰ ἀπειθήσετε αὐτοῖς, καὶ τοῖς κρίμασί μου προσοχθιεῖ ἡ ψυχὴ ὑμῶν, κἀγὼ οὕτω ποιήσω ὑμῖν, καὶ προσθήσω παιδεῦσαι ὑμᾶς πληγὰς ἑπτὰ ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν, καὶ συντρίψω τὴν ὕβριν τῆς ὑπερηφανίας ὑμῶν. Καὶ ἐὰν μετὰ ταῦτα πορεύησθε πλάγιοι, καὶ αὐτὸς πορεύσομαι μεθ᾽ ὑμῶν θυμῷ πλαγίῳ, καὶ παιδεύσω ὑμᾶς κἀγὼ ἔτι κατὰ τὰς ἁμαρτίας ὑμῶν, καὶ ἐπιστήσω ἐφ᾽ ὑμᾶς τὴν ἀπορίαν, τήν τε ψώραν καὶ τὸν ἴκτερον, σφακελίζοντας τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ τὴν ψυχὴν ὑμῶν ἐκτήκουσαν, καὶ σπείρετε διακενῆς τὰ σπέρματα ὑμῶν, καὶ ἔδονται οἱ ὑπεναντίοι ὑμῶν. Καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐφ᾽ ὑμᾶς, καὶ πεσεῖσθε ἔναντι τῶν ἐχθρῶν ὑμῶν, καὶ διώξουσιν ὑμᾶς οἱ μισοῦντες ὑμᾶς, καὶ φεύξεσθε, οὐδενὸς διώκοντος ὑμᾶς. Καὶ θήσω τὸν οὐρανὸν σιδηροῦν καὶ τὴν γῆν ὑμῶν ὡσεὶ χαλκῆν, καὶ ἔσται εἰς κενὸν ἡ ἰσχὺς ὑμῶν, καὶ οὐ δώσει ἡ γῆ τὸν σπόρον αὐτῆς, καὶ τὸ ξύλον τοῦ ἀγροῦ ὑμῶν οὐ δώσει τὸν καρπὸν αὐτοῦ. Καὶ ἐὰν μετὰ ταῦτα πορεύησθε

---

**5 – 7** ***II²2257** Ἐὰν – ὑμῖν] Lev. 26, 14–16 **7 – 9** καὶ – ὑμῶν] Ibid. 26, 18–19 **9 – 11** Καὶ – ὑμῶν] Ibid. 26, 23–24 **11 – 17** καὶ – ὑμᾶς] Ibid. 26, 16–17 **17 – 990, 12** Καὶ – ἐμπλησθῆτε] Ibid. 26, 19–26

---

**1 – 2 Titlos** P (261vB14–16) M^pin L^b pin E^txt A^III pin; *deest in* M^txt (lac.) L^b txt E^pin (lac.) T^(lac.) H^III A^III txt **4 – 990, 12** ***II²2257** P cap. Π 3, 1 (261vB[16]17–262vA4); R cap. Π 3, 1; *deest in* M^(lac.) L^b E T^(lac.) H^III

---

**1** Τίτλος] *om.* PM^pin L^b pin E^txt R^pin A^III pin γʹ] ρξηʹ E^txt, *propt. mg. resect. non liquet in* A^III pin *(*κβʹ *secund. ser.)*

---

***II²2257** Ἀπὸ] *om.* P

---

**6** ἀπειθήσετε] *sic* R, ἀπειθησεται P κρίμασί μου] κριμασιν P προσοχθιεῖ] *sic* R, προσόχθειη P **7** ὑμῶν] ἡμῶν P **9 – 10** καὶ αὐτὸς] κἀγὼ R **10** θυμῷ πλαγίῳ] πλαγίως R θυμῷ] *iterav.* P **10 – 990, 12** καὶ – ἐμπλησθῆτε] καὶ τὰ λοιπά R **11** ἔτι] *scripsi*, αἰτι P **12** ἴκτερον] *scripsi*, ϊκτερον P σφακελίζοντας] *scripsi*, σφακελλίζοντας P **13** σπερεῖτε *LXX* **18** καινον P

πλάγιοι, κἀγὼ παιδεύσω ὑμᾶς πληγὰς ἑπτὰ κατὰ τὰς ἁμαρτίας ὑμῶν, καὶ ἀποστελῶ ἐφ’ ὑμᾶς τὰ θηρία τὰ ἄγρια τῆς γῆς, καὶ κατέδεται ὑμᾶς, καὶ ἀναλώσει τὰ κτήνη ὑμῶν, καὶ ὀλιγοστοὺς ποιήσω ὑμᾶς, καὶ ἔρημοι ἔσονται αἱ ὁδοὶ ὑμῶν. Καὶ ἐὰν ἐπὶ τούτοις μὴ παιδευθῆτε, ἀλλὰ πορεύεσθε πρός με πλάγιοι, πορεύσομαι κἀγὼ μεθ’ ὑμῶν θυμῷ πλαγίῳ, καὶ ἐξαποστελῶ ἐφ’ ὑμᾶς μάχαιραν ἐκδικοῦσαν δίκην διαθήκης, καὶ καταφεύξεσθε εἰς τὰς πόλεις ὑμῶν, καὶ ἐξαποστελῶ θάνατον ἐφ’ ὑμᾶς, καὶ παραδοθήσεσθε εἰς χεῖρας τῶν ἐχθρῶν ὑμῶν, ἐν τῷ ἐκλίψαι ὑμᾶς σιτοδ<ε>ΐᾳ <ἄ>ρτων· καὶ πέψουσιν δέκα γυναῖκες ὑμῶν τοὺς ἄρτους ὑμῶν ἐν κλιβάνῳ ἑνί, καὶ ἀποδώσουσιν τοὺς ἄρτους ὑμῶν ἐν σταθμῷ, καὶ φάγεσθε καὶ οὐ μὴ ἐμπλησθῆτε.

## *II$^2$2258 / PML$^b$ cap. Π 3, 2

Σχόλιον·

Καὶ τὰ τούτων φοβερότερα σιγάσθω διὰ τὸ πλῆθος τῶν κατειλημμένων.

## *II$^2$2259 / PML$^b$ cap. Π 3, 3

Ὠσηὲ προφήτου·

Ἐφραὶμ ἐγένετο ἐγκρυφίας οὐ μεταστρεφόμενος. Κατέφαγον ἀλλότριοι τοὺς πόνους αὐτοῦ καὶ τὴν ἰσχὺν αὐτοῦ, αὐτὸς δὲ οὐκ ἐπέγνω. Καὶ ταπεινωθήσεται ἡ ὕβρις τοῦ Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ, καὶ οὐκ ἐπέστρεψαν πρὸς κύριον τὸν θεὸν αὐτῶν, καὶ οὐκ ἐζήτησαν αὐτὸν ἐν πᾶσιν τούτοις. Ἀπώσεται αὐτοὺς ὁ θεός,

**15 – 16** ***II$^2$2258** *Scholion in Lev. 26, 14–26* **19 – 23** ***II$^2$2259** Ἐφραὶμ – τούτοις] Os. 7, 8–10 (Wahl, *Prophetenzitate*, p. 162–163) **23 – 991, 1** Ἀπώσεται – ἔθνεσιν] Ibid. 9, 17 (Wahl, p. 168)

**14 – 16** ***II$^2$2258** P cap. Π 3, 2 (262vA[4]5–8); *deest in* M$^{\text{(lac.)}}$ L$^b$ E T$^{\text{(lac.)}}$ H$^{III}$ R
**18 – 991, 3** ***II$^2$2259** P cap. Π 3, 3 (262vA[9]10–35); *deest in* M$^{\text{(lac.)}}$ L$^b$ E T$^{\text{(lac.)}}$ H$^{III}$ R

***II$^2$2259** ωσιὲ P

**9** ἐκλίψαι] *scripsi*, ἐκλιψαι P, θλῖψαι *LXX* **9 – 10** σιτοδεΐᾳ ἄρτων] *correxi (*σιτοδείᾳ ἄρτων *LXX)*, σιτωδιάρτων P **15** φοβερότερα] φεροτερα P$^{a.c.}$ **19** ἐφραιμ P

ὅτι οὐκ εἰσήκουσαν αὐτοῦ, καὶ ἔσονται πλανῆται ἐν τοῖς ἔθνεσιν. Ἠγάπησαν γὰρ ἀτιμίαν ἐκ φρυάγματος αὐτῶν, καὶ ἀπεστράφησαν εἰς οὐθέν· ἐγένοντο ὡς τόξον ἐντεταμένον.

## *II$^{2}$2260 / PML$^{b}$ cap. Π 3, 4

<***>

Πόλεμος ἐπὶ τέκνα ἀδικίας, καὶ παιδεῦσαι αὐτούς, καὶ συναχθήσονται ἐπ᾽ αὐτοὺς λαοὶ ἐπὶ τὸ παιδεύεσθαι αὐτοὺς ἐν ταῖς ἀδικίαις αὐτῶν.

## *II$^{2}$2261 / PML$^{b}$ cap. Π 3, 5

Ἀμὼς προφήτου·

Τάδε λέγει κύριος· Ἐγὼ ἀνέσχον ἐξ ὑμῶν τὸν ὑετόν, καὶ οὐδὲ οὕτως ἐπεστρέψατε πρός με, λέγει κύριος. Ἐπάταξα ὑμᾶς ἐν πυρώσει καὶ ἐν ἰκτέρῳ· καὶ ἐπληθύνατε κήπους ὑμῶν καὶ ἀμπελῶνας καὶ συκῶνας ὑμῶν καὶ ἐλαιῶνας ὑμῶν, καὶ κατέφαγεν ἡ κάμπη, καὶ οὐδὲ ὧς ἐπεστρέψατε πρός με, λέγει κύριος. Ἐξαπέστειλα εἰς ὑμᾶς θάνατον ἐν ὁδῷ Αἰγύπτου, καὶ ἀπέκτεινα ἐν ῥομφαίᾳ τοὺς νεανίσκους ὑμῶν μετὰ αἰχμαλωσίας ἵππων σου, καὶ ἀνήγαγον ἐν πυρὶ τὰς παρεμβολὰς ὑμῶν ἐν ὀργῇ μου, καὶ οὐδ᾽ οὕτως ἐπεστρέψατε πρός με, λέγει κύριος. Κατέστρεψα ὑμᾶς, καθὼς κατέστρεψεν ὁ

---

**2** Ἠγάπησαν – αὐτῶν] Ibid. 4, 18 (Wahl, p. 155) **2 – 3** καὶ – ἐντεταμένον] Ibid. 7, 16 (Wahl, p. 164) **6 – 8** ***II$^{2}$2260** Os. 10, 9–10 (Wahl, *Prophetenzitate*, p. 169) **11** ***II$^{2}$2261** Τάδε – κύριος] Am. 3, 12 **11 – 992, 2** Ἐγὼ – κύριος] Ibid. 4, 7–11 (Wahl, *Prophetenzitate*, p. 183–184)

---

**5 – 8** ***II$^{2}$2260** P cap. Π 3, 4 (262vA35–262vB6); *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R **10 – 992, 2** ***II$^{2}$2261** P cap. Π 3, 5 (262vB[7]8–263rA8); R cap. Π 3, 2; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2260** *s. a.* P ***II$^{2}$2261** ἀμῶς R, αμῶς P προφήτου] *om.* R

---

**3** ἐντεταμένον] *scripsi*, ἐντεταμμενον P **6** καὶ$^{1}$] *sic* P, ἦλθεν *II$^{2}$1462 / T cap. E 36, 1, *II$^{2}$2221 / PML$^{b}$ cap. Π 2, 18 *et* *II$^{2}$2340 / R cap. Π 11, 6 **12** ἐπιστρέψατε P **13** ικτερῶ P **15** οὐδὲ ὧς] οὐδεως P$^{a. c.}$, οὐδε ουτως P$^{p. c. man. rec. ut videtur}$, οὐδ᾽ οὕτως R επιστρεψατε P εἰς] *om.* P **16** αἰγυπτου P **18** ἐπιστρέψατε P

θεὸς Σόδομα καὶ Γόμορρα, καὶ ἐγένεσθε ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός, καὶ οὐδὲ ὧς ἐπεστρέψατε πρός με, λέγει κύριος.

## *Π$^{2}$2262 / PML$^{b}$ cap. Π 3, 6

Ἡσαΐου προφήτου·

Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; Πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην. Ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐπ᾽ αὐτῶν ὁλοκληρία, οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα, οὐκ ἔστιν μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους.

## *Π$^{2}$2263 / PML$^{b}$ cap. Π 3, 7

Τοῦ αὐτοῦ·

Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας.

## *Π$^{2}$2264 / PML$^{b}$ cap. Π 3, 8

Ἱερεμίου προφήτου·

Μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν, παιδείαν οὐκ ἐδέξασθε· μάχαιρα

---

**5 – 9** ***Π$^{2}$2262** Is. 1, 5–6 (Wahl, *Prophetenzitate*, p. 282–283) **12 – 13** ***Π$^{2}$2263** Is. 5, 18 (Wahl, *Prophetenzitate*, p. 305–306) **16 – 993, 2** ***Π$^{2}$2264** Ier. 2, 30 (Wahl, *Prophetenzitate*, p. 483)

---

**4 – 9** ***Π$^{2}$2262** P cap. Π 3, 6 (263rA[9]10–22); R cap. Π 3, 3; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ **11 – 13** ***Π$^{2}$2263** P cap. Π 3, 7 (263rA[23]24–29); E cap. 168, 1; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **15 – 993, 2** ***Π$^{2}$2264** P cap. Π 3, 8 (263rA[30]31–263rB3); R cap. Π 3, 4; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

***Π$^{2}$2262** ησαΐου P ***Π$^{2}$2263** (a) P (b) Ἡσαΐου *(-ΐου cod.)* E ***Π$^{2}$2264** ἱηρεμιου P προφήτου] *om.* R

---

**2** οὐδὲ ὧς] *scripsi*, ουδεως P, οὐδ᾽ οὕτως R πρός με] *om.* R **6 – 7** οὐκ – ὁλοκληρία] *om.* P **12** ἁμαρτίας] *add.* αὐτῶν E **13** ἀνομίας] *add.* αὐτῶν E

κατέφαγεν τοὺς προφήτας ὑμῶν ὡς λέων ὀλοθρεύων, καὶ οὐκ ἐφοβήθητε.

### *II$^{2}$2265 / PML$^{b}$ cap. Π 3, 9

Τοῦ αὐτοῦ·

Τῷ λαῷ τούτῳ ἐγενήθη καρδία ἀνήκοος καὶ ἀπειθής, καὶ ἐξέκλιναν καὶ ἀπήλθοσαν, καὶ οὐκ εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν· Φοβηθῶμεν δὴ κύριον τὸν θεὸν ἡμῶν.

### *II$^{2}$2266 / PML$^{b}$ cap. Π 3, 10

Τοῦ αὐτοῦ·

Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κατὰ τὸν καρπὸν ἀναστροφῆς αὐτῶν, ὅτι τῷ λόγῳ μου οὐ προσέσχον, καὶ τὸν νόμον μου ἀπώσαντο.

### *II$^{2}$2267 / PML$^{b}$ cap. Π 3, 11

Τοῦ αὐτοῦ·

Ἀπ' αἰῶνος συνέτριψας ζυγόν σου, καὶ διέσπασας τοὺς δεσμούς σου, καὶ εἶπας· Οὐ δουλεύσω.

---

**5 – 7** ***II$^{2}$2265** Ier. 5, 23–24 (Wahl, *Prophetenzitate*, p. 496–497) **10 – 12** ***II$^{2}$2266** Ier. 6, 19 (Wahl, *Prophetenzitate*, p. 504) **15 – 16** ***II$^{2}$2267** Ier. 2, 20 (Wahl, *Prophetenzitate*, p. 481)

---

**4 – 7** ***II$^{2}$2265** P cap. Π 3, 9 (263rB[3]4–12); E cap. 168, 2; R cap. Π 3, 5; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **9 – 12** ***II$^{2}$2266** P cap. Π 3, 10 (263rB[12]13–20); R cap. Π 3, 6; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ E H$^{III}$ **14 – 16** ***II$^{2}$2267** P cap. Π 3, 11 (263rB[20]21–25); R cap. Π 3, 7; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2265** (a) P R (b) *s. a.* E

---

**5 – 7** καὶ$^{2}$ – ἡμῶν] πάντες ἀνήκοοι πορευόμενοι σκολιῶς *(= Ier. 6, 28)* E **6** ἀπῆλθον R εἶπον R

## *II$^2$2268 / PML$^b$ cap. Π 3, 12

Τοῦ αὐτοῦ·

Ὅτι ἠμέλησάς μου, λέγει κύριος, αἱ ὁδοί σου καὶ τὰ ἐπιτηδεύματά σου ἐποίησάν σοι ταῦτα.

## *II$^2$2269 / PML$^b$ cap. Π 3, 13

Τοῦ αὐτοῦ·

Διατοῦτο οὕτως εἶπεν κύριος· Ἰδοὺ ἐγὼ φέρω ἐπὶ Ἰούδαν καὶ ἐπὶ τοὺς κατοικοῦντας Ἱερουσαλὴμ πάντα τὰ κακά, ἃ ἐλάλησα ἐπ᾽ αὐτούς.

## *II$^2$2270 / PML$^b$ cap. Π 3, 14

Τοῦ αὐτοῦ·

Ἰδοὺ ἐγὼ κρίνομαι πρὸς σέ, ἐν τῷ λέγειν σε· Οὐχ᾽ ἥμαρτον, ὅτι κατεφρόνησας σφόδρα τοῦ δευτερῶσαι τὰς ὁδούς σου.

## *II$^2$2271 / PML$^b$ cap. Π 3, 15

Τοῦ αὐτοῦ·

Τάδε λέγει κύριος· Ἀπόστρεψον τὸν πόδα σου ἀπὸ ὁδοῦ τραχείας, καὶ τὸν φάρυγγά σου ἀπὸ δίψους. Ἡ δὲ εἶπεν· Ἀνδριοῦμαι.

---

**3 – 4** ***II$^2$2268** Ier. 4, 17–18 (Wahl, *Prophetenzitate*, p. 489–490) **7 – 9** ***II$^2$2269** Ier. 42, 17 (Wahl, *Prophetenzitate*, p. 573) **12 – 13** ***II$^2$2270** Ier. 2, 35–36 (Wahl, *Prophetenzitate*, p. 484–485) **16** ***II$^2$2271** Τάδε – κύριος] Ier. 2, 2 **16 – 17** Ἀπόστρεψον – Ἀνδριοῦμαι] Ibid. 2, 25 (Wahl, *Prophetenzitate*, p. 482)

---

**2 – 4** ***II$^2$2268** P cap. Π 3, 12 (263rB[25]26–30); R cap. Π 3, 8; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **6 – 9** ***II$^2$2269** P cap. Π 3, 13 (263rB[30]31–263vA1); R cap. Π 3, 9; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **11 – 13** ***II$^2$2270** P cap. Π 3, 14 (263vA[2]3–8); R cap. Π 3, 10; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **15 – 17** ***II$^2$2271** P cap. Π 3, 15 (263vA[9]10–15); R cap. Π 3, 11; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$

---

**7** ϊουδαν P ἐπὶ$^2$] *om.* R **8 – 9** ἐπ᾽ αὐτούς] αὐτοῖς R **12** πρὸς σέ] πρός σε P

## *Π$^2$2272 / PML$^b$ cap. Π 3, 16

Σοφίας Σολομῶντος·

Οἱ παιγνίοις ἐπιτιμήσεως μὴ νουθετηθέντες
ἀξίαν θεοῦ κρίσιν πειράσουσιν.

## *Π$^2$2273 / PML$^b$ cap. Π 3, 17

Τοῦ Σιράχ·

Ἔστιν πνεύματα ἃ εἰς ἐκδίκησιν ἔκτισται,
καὶ ἐν θυμῷ αὐτῶν ἐστερέωσαν μάστιγας αὐτῶν·
καὶ ἐν καιρῷ συντελείας ἰσχὺν ἐκχέουσιν,
καὶ τὸν θυμὸν τοῦ ποιήσαντος αὐτοὺς κοπάσουσιν.
Πῦρ, χάλαζα, λιμὸς καὶ θάνατος,
πάντα ταῦτα εἰς ἐκδίκησιν ἔκτισται.

## *Π$^2$2274 / PML$^b$ cap. Π 3, 18

Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου·

Ἱερουσαλὴμ Ἱερουσαλήμ, ἡ ἀποκτε<ί>νουσα τοὺς προφήτας καὶ τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς, καὶ οὐκ ἠθελήσατε· ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν.

---

**3 – 4** ***Π$^2$2272** Sap. 12, 26$^{1-2}$ **7 – 12** ***Π$^2$2273** Sir. 39, 28$^1$–29$^2$ (Wahl, *Sirach-Text*, p. 155–156) **15 – 18** ***Π$^2$2274** Matth., re vera Luc. 13, 34

---

**2 – 4** ***Π$^2$2272** P cap. Π 3, 16 (263vA[16]17–20); R cap. Π 3, 12; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **6 – 12** ***Π$^2$2273** P cap. Π 3, 17 (263vA[21]21–35); R cap. Π 3, 13; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **14 – 18** ***Π$^2$2274** P cap. Π 3, 18 ([263vA36]263vB1–13); R cap. Π 3, 14; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$

---

***Π$^2$2272** Σοφίας] *om.* P ***Π$^2$2274** (a) P (b) Ματθαίου R

---

**15** Ἱερουσαλὴμ] ϊερουσαλημ P Ἱερουσαλήμ] ϊερουσάλημ P ἀποκτείνουσα] *correxi (NT)*, ἀποκτενουσα P, ἀποκτείνασα R **16** πρὸς αὐτήν] πρὸς σὲ R **17** νοσια P αὐτῆς P **17 – 18** ὑπὸ – αὐτῆς] *om.* R **18** ἀφιετε P ὑμῶν] *add.* ἔρημος R

## *Π$^2$2275 / PML$^b$ cap. Π 3, 19

Ἐκ τοῦ κατὰ Λουκᾶν·

Εἶπεν ὁ κύριος τὴν παραβολὴν ταύτην· Συκῆν τις εἶχεν ἐν τῷ ἀμ-<π>ελῶνι αὐτοῦ, καὶ ἦλθεν ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ᾽ εὗρεν. Εἶπεν δὲ πρὸς τὸν ἀμπελουργόν· Ἰδοὺ τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ᾽ εὗρον. Ἔκκοψον αὐτήν· ἱνατί καὶ τὴν γῆν καταργεῖ; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν καὶ βάλω κοπρίαν· καὶ εἰ μὲν ποιήσει καρπόν, εἰ δὲ μή γε εἰς τὸ μέλλον, ἐκκόψεις αὐτήν.

## *Π$^2$2276 / PML$^b$ cap. Π 3, 20

Ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς·

Εἰ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι καὶ οὐχ᾽ υἱοί ἐστε.

## *Π$^2$2277 / PML$^b$ cap. Π 3, 21

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸν προφήτην Ἡσαΐαν·

Πολλῷ βέλτιον ἀνέχεσθαι λόγου παιδευτικοῦ ἢ δυσανασχετοῦντα, συντρίβειν τὸν ζυγὸν τοῦ ἐπὶ σωτηρίᾳ παίοντος. Ὁ γὰρ μὴ φέρων τὸν ἀπὸ τοῦ ἐλέγχου καὶ τῆς ἐπιπλήξεως πόνον, ἀφηνι-

---

**3 – 10** *Π$^2$2275 Luc. 13, 6–9 **13 – 14** *Π$^2$2276 Hebr. 12, 8 **17 – 18** *Π$^2$2277 Πολλῷ – παίοντος] (Ps.-)Basilius Caesariensis, *Enarratio in prophetam Isaiam*, XIV, 288 (PG 30, 624, 27–29) **18 – 997, 3** Ὁ – ἁμαρτίᾳ] Ibid. (PG 30, 624, 23–26)

---

**2 – 10** *Π$^2$2275 P cap. Π 3, 19 (263vB[14]15–264rA2); *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ R **12 – 14** *Π$^2$2276 P cap. Π 3, 20 (264rA[3]4–8); *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ R **16 – 997, 3** *Π$^2$2277 P cap. Π 3, 21 (264rA[8–9]10–28); E cap. 168, 3; R cap. Π 3, 15; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

*Π$^2$2276 εβραίους P *Π$^2$2277 (a) P R ἐκ – εἰς] *non liquent in* P προφήτην] *om.* R (b) Βασιλείου E

---

**13** ἄρα] *scripsi*, ἆρα P **17 – 18** δυσανασχετοῦντας P E **18 – 997, 3** Ὁ – ἁμαρτίᾳ] *om.* E

αστής ἐστιν, τρόπον ἵππου καὶ ἡμιόνου ἐκμιμούμενος, τῶν ἀσυνέτων, ἀπαλλοτριῶν μὲν ἑαυτὸν ἀπὸ τοῦ θεοῦ, καταδουλῶν δὲ ἑαυτὸν τῇ ἁμαρτίᾳ.

## *II$^{2}$2278 / PML$^{b}$ cap. Π 3, 22

Τοῦ θεολόγου Γρηγορίου, ἐκ τοῦ πρὸς τὸν ἄρχοντα καὶ τοὺς πολιτευομένους·

Μὴ γινώμεθα δοῦλοι κακοί, ἀγαθύνοντι μὲν δεσπότῃ ἐξομολογούμενοι, παιδεύοντι δὲ μὴ προστιθέμενοι· καίτοι ποτὲ κρείσσων ὑγείας νόσος, καὶ ὑπόμνησις ἀνέσεως, καὶ ἐπίσκεψις ἀμελείας, καὶ ἐπιστροφὴ συγχωρήσεως.

## *II$^{2}$2279 / PML$^{b}$ cap. Π 3, 23

Τοῦ Χρυσοστόμου, ἐκ τοῦ μετὰ τὴν ἀταξίαν τοῦ δήμου·

Εὑρίσκομεν πολλάκις τὸν τῶν ὅλων θεόν, δι᾽ ὑπερβολὴν πονηρίας καὶ τὸ τῶν κακοφρόνων ἀπαίδευτον, τὰς ἡνίας ἀφιέντα, καὶ φέρεσθαι τὸ τῶν ἀνθρώπων ὡς ἂν θελήσῃ συγχωροῦντα γένος. Καὶ τοῦτο αὐτὸς ἡμᾶς διὰ τοῦ προφήτου διδάσκων, πρὸς τὸν Ἰσραὴλ ἔλεγεν· *Οὐ ποιμαίνω ὑμᾶς· τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ*

---

**17 – 998, 2** Zach. 11, 9

---

**7 – 10** ***II$^{2}$2278** GREGORIUS NAZIANZENUS, *Ad praefectum et cives Nazianzenos (Orat. 17)*, 5 (PG 35, 972, 29–34) **13 – 998, 2** ***II$^{2}$2279** IOHANNES CHRYSOSTOMUS, *Post perturbationem populi* (deest apud Haidacher), re vera THEODORETUS CYRENSIS, *De providentia orationes*, VIII (PG 83, 685, 14–22; quibusdam omissis)

---

**5 – 10** ***II$^{2}$2278** P cap. Π 3, 22 (264rA[28–29]30–264rB6); E cap. 168, 4; R cap. Π 3, 16; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **12 – 998, 2** ***II$^{2}$2279** P cap. Π 3, 23 (264rB[7–8]9–31); E cap. 168, 5; R cap. Π 3, 17; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2278** (a) P (b) Τοῦ Θεολόγου R (c) Θεολόγου E ***II$^{2}$2279** (a) P (b) Τοῦ Χρυσοστόμου R (c) Χρυσοστόμου E

---

**2** τοῦ] *om.* P **7** γενώμεθα E **7 – 8** δεσπότῃ ἐξομολογούμενοι] ἐξομολογούμενοι τῶι δεσπότη E **8 – 10** καίτοι – συγχωρήσεως] *om.* E **8** κρεισσον P **9** ϋγιείας P **15** γένος] γενναίως R

*τὸ ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ κατάλοιπα κατεσθιέτω ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ.*

## *II$^2$2280 / PML$^b$ cap. Π 3, 24

Τοῦ μακαρίου Ἐφραίμ·

Τὸν κόσμον ὁ θεὸς ἀνεξικακίᾳ ἐπισκοπεῖ, τὸ μέλλον αἰνιττόμενος καὶ τὸ παρὸν κακὸν ὅροις στοιχίζων, ἐκ μὲν τῆς ἀποφάσεως χαλινῶν τὴν πονηρίαν, διὰ δὲ τῆς συνειδήσεως τὰς ἐναγεῖς [πονηρὰς] διανοίας τιμωρούμενος. Ποσάκις ἐπείρασεν καὶ ἠπείλησεν τῷ Ἰσραὴλ αἰχμαλωσίαν, καὶ ὑπερέθετο; Ποσάκις τὴν Ἱερουσαλὴμ ὀλέθρῳ δοθῆναι, ἵνα δειχθῇ αὐτοῦ ἡ πρόγνωσις. Καὶ μακροθυμεῖ, ἵνα μάθωμεν αὐτοῦ τὴν χρηστότητα· ταχέως ἀποφαίνεται πρὸς διόρθωσιν καὶ βραδέως ἀμύνεται, θέλων ἵνα σωθῶμεν. Ἐπιμενόντων δὲ ἡμῶν τῇ κακίᾳ καὶ ἀπαιδευσίᾳ, ἐπάγει τὸν ὄλεθρον· ἑαυτὸν <ἀν>αίτιον ποιεῖ· προαπειλῶν καὶ παιδεύων, δίκαιον κριτὴν ἑαυτὸν συνίστησιν. Προαποφαίνεται ὡς προγνώστης, καὶ ἀποδίδωσιν ὅτε βούλεται, ὡς δυνατός.

**5 – 8** Τὸν – τιμωρούμενος] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 41.12./48.12. (ed. Ihm, p. 744)

**5 – 16** ***II$^2$2280** EPHRAEM, locus non repertus

**4 – 16** ***II$^2$2280** P cap. Π 3, 24 (264rB[31]32–264vB1); *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ E H$^{III}$ R

***II$^2$2280** εφραιμ P

**1** ἐκλιπέτω R **6** κακὸν ὅροις] *correxi (cf.* *II$^2$1487 / T cap. E 36, 26*)*, κακοπόροις P **7** πονηρὰς] *delevi (cf.* *II$^2$1487 / T cap. E 36, 26*)* **10** μακροθυμεῖ] μεῖ *(sic)* P$^{a.c.}$ **14** ἀναίτιον] *correxi (cf.* *II$^2$1487 / T cap. E 36, 26*)*, αἴτιον P

## Τίτλος δʹ Περὶ παρρησίας, καὶ πῶς δυνατὸν εὐπαρρησίαστον τινὰ γενέσθαι. **II$^{1}$ / K cap. Π 2**

### *II$^{2}$2281 / PML$^{b}$ cap. Π 4, 1

Τοῦ Ἰώβ·

Καθαρὸς χερσίν, ἀναλάβοι θάρσος.

### *II$^{2}$2282 / PML$^{b}$ cap. Π 4, 2 **II$^{1}$1709 / K cap. Π 2, 1**

Παροιμιῶν·

Ἐξουσίαν δίδωσι λόγοις ἀρχὴ δικαιοσύνης.

### *II$^{2}$2283 / PML$^{b}$ cap. Π 4, 3

Πρὸς Τίτον ἐπιστολῆς·

Δεῖ τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, ἵνα καὶ δυνατὸς ᾖ παρακαλεῖν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

---

**8** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 31.3./3. (ed. Ihm, p. 639)

---

**5** ***II$^{2}$2281** Iob 17, 9$^{2}$ **8** ***II$^{2}$2282** Prov. 17, 14$^{1}$ (Wahl, *Proverbien-Text*, p. 87) **11** ***II$^{2}$2283** Δεῖ – εἶναι] Tit. 1, 7 **11 – 12** ἵνα – ἐλέγχειν] Ibid. 1, 9

---

**1 – 2** **Titlos** P (264vB2–3) $M^{pin}$ $L^{b\,pin}$ $E^{txt}$ $A^{III\,pin}$ R; *deest in* $M^{txt\,(lac.)}$ $L^{b\,txt}$ $E^{pin\,(lac.)}$ $T^{(lac.)}$ $L^{c}$ *(fenestra in* $L^{c\,txt}$*)* $H^{III}$$A^{III\,txt}$ **4 – 5** ***II$^{2}$2281** P cap. Π 4, 1 (264vB[4]5–6); E cap. 169, 1; $L^{c}$ cap. Π 2, 1; R cap. Π 4, 1; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$ **7 – 8** ***II$^{2}$2282** P cap. Π 4, 2 (264vB[6]7–9); E cap. 169, 2; $L^{c}$ cap. Π 2, 2; R cap. Π 4, 2; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$ **10 – 12** ***II$^{2}$2283** P cap. Π 4, 3 (264vB[9]10–17); E cap. E 169, 3; $L^{c}$ cap. Π 2, 3; R cap. Π 4, 3; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* P$M^{pin}$ $L^{b\,pin}$ $R^{pin}$ $E^{txt}$ $A^{III\,pin}$ δʹ] ρξθʹ $E^{txt}$, *propt. mg. resect. non liquet in* $A^{III\,pin}$ *(*κγʹ *secund. ser.),* βʹ $L^{c}$ *secund. ser.* **1 – 2** καὶ – γενέσθαι] *om.* $M^{pin}$

---

***II$^{2}$2281** Τοῦ] *om.* P E $L^{c}$ ἰώβ P ***II$^{2}$2283** (a) P $L^{c}$ (b) Ἐκ τῆς πρὸς Τιμόθεον R (c) Ἀποστόλου E

---

**11** Δεῖ] χρεῖ *(rubricatoris vitio)* $L^{c}$ **12** καὶ – ἐλέγχειν] *om.* R

**II$^1$1710 / K cap. Π 2, 2**

## *II$^2$2284 / PML$^b$ cap. Π 4, 4

Ἐκ τῆς Ἰωάννου καθολικῆς α′·

Ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν θεόν, καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν ἀπ᾽ αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν.

## *II$^2$2285 / PML$^b$ cap. Π 4, 5

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ φθόνου·

Εἰ βούλῃ τῶν πολλῶν ὑπερφαίνεσθαι καὶ εὐδόκιμος ἐν τοῖς κοσμικοῖς πράγμασι γενέσθαι, ἔσο δίκαιος, σώφρων, φρόνιμος, ἀνδρεῖος, ὑπομονητικὸς ἐν τοῖς ὑπὲρ εὐσεβείας παθήμασιν. Οὕτω γὰρ καὶ σεαυτὸν σώσεις, καὶ ἐπὶ μείζοσιν ἀγαθοῖς μείζονα ἕξεις τὴν περιφάνειαν.

**II$^1$1711 / K cap. Π 2, 3**

## *II$^2$2286 / PML$^b$ cap. Π 4, 6

Τοῦ Χρυσοστόμου, ἐκ τοῦ περὶ ἱερωσύνης·

Ὅταν ἄρχων ἀνεπίληπτος ᾖ πᾶσιν, τότε δυνηθήσεται μεθ᾽ ὅσης

---

**3 – 5** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 31.2./2. (ed. Ihm, p. 638–639)

---

**3 – 5** ***II$^2$2284** I Ioh. 3, 21–22 **8** ***II$^2$2285** Εἰ – ὑπερφαίνεσθαι] BASILIUS CAESARIENSIS, *Homilia de invidia*, 5 (PG 31, 384, 48–50) **8 – 12** καὶ – περιφάνειαν] IBID. (PG 31, 385, 4–10) **15 – 1001, 2** ***II$^2$2286** IOHANNES CHRYSOSTOMUS, *De sacerdotio*, V, 3, 13–16 (ed. Malingrey, p. 286)

---

**2 – 5** ***II$^2$2284** P cap. Π 4, 4 (264vB[18]19–29); E cap. 169, 4; L$^c$ cap. Π 2, 4; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **7 – 12** ***II$^2$2285** P cap. Π 4, 5 (264vB[30–31]32–265rA11); L$^c$ cap. Π 2, 5; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ R **14 – 1001, 2** ***II$^2$2286** P cap. Π 4, 6 (265rA[11]12–20); L$^c$ cap. Π 2, 6; R cap. Π 4, 4; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ E H$^{III}$

---

***II$^2$2284** (a) P (b) Ἰωάννου, καθολικῆς πρώτης L$^c$ (c) Ἀποστόλου Ἰωάννου E ***II$^2$2285** Τοῦ ἁγίου] *om.* L$^c$ ἐκ τοῦ] *om.* L$^c$ ***II$^2$2286** ἐκ τοῦ] *om.* L$^c$ ἱερωσύνης] ἱερέων L$^c$

---

**3** καταγινώσκει P **4** ἀπ᾽ αὐτοῦ] *om.* E **9** ἔσο] *scripsi (ed.)*, ἔσω P **10** Οὕτω] *add.* καὶ L$^c$ **15** πᾶσιν] *praem.* ἐν L$^c$

βούλεται ἐξουσίας καὶ κολάζειν καὶ ἀνεῖναι τοὺς ὑπ’ αὐτὸν ταττομένους πάντας.

## *II$^2$2287 / PML$^b$ cap. Π 4, 7

Τοῦ θεολόγου Γρηγορίου·

Τὸ μὲν ἁπλῶς παρρησιάζεσθαι, καὶ τῶν τυχόντων πολλάκις ἐστίν, τὸ δὲ εἰς δέον καὶ καιρῷ τῷ προσήκοντι μετὰ τῆς ἁρμοττούσης συμμετρίας καὶ συνέσεως <***>.

## *II$^2$2288 / PML$^b$ cap. Π 4, 8

Φίλωνος, ἐκ τοῦ τίς ὁ τῶν θείων κληρονόμος·

Πότε ἄγει παρρησίαν οἰκέτης πρὸς δεσπότην; Ἆρ’ οὐχ’ ὅταν ἠδικηκότι μὲν ἑαυτῷ μηδὲν συνειδῇ, πάντα δὲ ὑπὲρ τοῦ κεκτημένου καὶ λέγοντι καὶ πράττοντι; Πότε οὖν ἄξιον τὸν τοῦ θεοῦ δοῦλον ἐλευθεροστομεῖν πρὸς τὸν ἑαυτοῦ τε καὶ τοῦ παντὸς δεσπότην καὶ ἡγεμόνα ἢ ὅταν ἁμαρτημάτων καθαρεύῃ καὶ τὸ φιλοδέσποτον ἐκ τοῦ συνειδότος κρίνῃ, πλείονι χαρᾷ χρώμενος ἐπὶ τῷ θεράπων γενέσθαι θεοῦ ἢ εἰ τοῦ παντὸς ἀνθρώπων γένους ἐβασίλευσεν;

---

**5 – 7** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 31.9./9. (ed. Ihm, p. 641)

---

**5 – 7** ***II$^2$2287** Gregorius Nazianzenus, re vera (Ps.-)Iohannes Chrysostomus, *Eclogae ex diversis homiliis*, XXXII *(De magnanimitate et fortitudine)* (PG 63, 811, 40–43) **10 – 16** ***II$^2$2288** Philo Iudaeus, *Quis rerum divinarum heres sit*, 6–7 (ed. Wendland, p. 2, 10–16)

---

**4 – 7** ***II$^2$2287** P cap. Π 4, 7 (265rA[21]22–31); L$^c$ cap. Π 2, 7; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ R **9 – 16** ***II$^2$2288** P cap. Π 4, 8 (265rA[31–32]33–265rB21); L$^c$ cap. Π 2, 8; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^2$2287** Γρηγορίου] *om.* L$^c$

---

**1** καὶ ἀνεῖναι] κἂν σϋγχωρεῖν εἶναι L$^c$, κὰν συχγωρεῖνειναι P **5** Τὸ] οταν P **7** *post* συνέσεως *quaedam excidisse videntur*, τοῦτο λϋσϊτελέστατον *supplevit* L$^c$ *(*τῷ πράγματι χρήσασθαι, μεγάλης λίαν καὶ θαυμαστῆς δεῖται ψυχῆς *ed.)* **10** Πότε] τότε *(rubricatoris vitio)* L$^c$ Ἆρ’ οὐχ’] αρὸυχ P **12** καὶ πράττοντι] *om.* L$^c$ **14** καθαρεύῃ] *scripsi (ed.)*, καθαρευοι P L$^c$ **15** κρινει P

## Τίτλος ε′ Περὶ προσφορῶν εὐαγῶν καὶ εὐπροσδέκτων, καὶ ἐναγῶν καὶ ἀπροσδέκτων.

### *$II^{2}$2289 / $PML^{b}$ cap. Π 5, 1

Τοῦ Δευτερονομίου·

Οὐ προσοίσεις μίσθωμα πόρνης εἰς οἶκον κυρίου τοῦ θεοῦ σου, οὔτε ἄλλαγμα κυνός, ὅτι βδέλυγμα κυρίῳ τῷ θεῷ σου καὶ ἀμφότερα.

### *$II^{2}$2290 / $PML^{b}$ cap. Π 5, 2

Ἡσαΐου·

Ὁ ἄνομος ὁ θύων μόσχον ὡς ὁ ἀποκτένων κύνα, ὁ δὲ ἀναφέρων σεμίδαλιν ὡς αἷμα ὕειον, ὁ διδοὺς λίβανον εἰς μνημόσυνον ὡς βλάσφημος.

---

**5 – 7** ***$II^{2}$2289** Deut. 23, 18 (Wahl, *Deuteronomium-Text*, p. 141) **10 – 12** ***$II^{2}$2290** Is. 66, 3 (Wahl, *Prophetenzitate*, p. 475–476)

---

**1 – 2** **Titlos** P (265rB22–24) $M^{pin}$ $L^{b\ pin}$ $E^{txt}$ $A^{III\ pin}$ R; *deest in* $M^{txt\ (lac.)}$ $L^{b\ txt}$ $E^{pin\ (lac.)}$ $T^{(lac.)}$ $H^{III}$ $A^{III\ txt}$ **4 – 7** ***$II^{2}$2289** P cap. Π 5, 1 (265rB[25]26–32); E cap. 170, 1; R cap. Π 5, 1; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$ **9 – 12** ***$II^{2}$2290** P cap. Π 5, 2 (265rB[32]33–165vA4); R cap. Π 5, 2; *deest in* $M^{(lac.)}$ $L^{b}$ E $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* P$M^{pin}$ $L^{b\ pin}$ $E^{txt}$ $A^{III\ pin}$ $R^{pin}$ E ε′] ρο′ $E^{txt}$, *propt. mg. resect. non liquet in* $A^{III\ pin}$ *(α′ secund. ser.)* **1 – 2** εὐαγῶν – ἀπροσδέκτων] *om.* $M^{pin}$ **1 – 2** καὶ[1] – ἐναγῶν] *om.* $A^{III\ pin}$

---

***$II^{2}$2289** Τοῦ] *om.* P ***$II^{2}$2290** ησαϊου P

---

**10** ὁ[2]] *om.* P ἀποκτένων] *sic* P R κῦνα $R^{a.\ c.}$

## *II²2291 / PML^b cap. Π 5, 3

Τοῦ Σιράχ·

Προσφορὰ δικαίου λιπαίνει θυσιαστήριον,
καὶ ἡ εὐωδία αὐτῆς ἔναντι ὑψίστου.

## *II²2292 / PML^b cap. Π 5, 4

Τοῦ αὐτοῦ·

Θυσία δικαίου δεκτή,
καὶ τὸ μνημόσυνον αὐτῆς οὐκ ἐπιλησθήσεται.

## *II²2293 / PML^b cap. Π 5, 5

Τοῦ αὐτοῦ·

Ἐν ἀγαθῷ ὀφθαλμῷ δόξασον τὸν κύριον,
καὶ μὴ σμικρύνῃς ἀπαρχὴν χειρῶν σου.

## *II²2294 / PML^b cap. Π 5, 6

Τοῦ αὐτοῦ·

Ἐν πάσῃ δόσει ἱλάρυνον τὸ πρόσωπόν σου,
καὶ ἐν εὐφροσύνῃ ἁγίασον δεκάτην.

---

**3 – 4** ***II²2291** Sir. 32, 8^{1–2} (Wahl, *Sirach-Text*, p. 135) **7 – 8** ***II²2292** Sir. 32, 9^{1–2} (Wahl, *Sirach-Text*, p. 135–136) **11 – 12** ***II²2293** Sir. 32, 10^{1–2} (Wahl, *Sirach-Text*, p. 136) **15 – 1004, 2** ***II²2294** Sir. 32, 11¹–12² (Wahl, *Sirach-Text*, p. 136)

---

**2 – 4** ***II²2291** P cap. Π 5, 3 (265v[4]5–9); E cap. 170, 2; R cap. Π 5, 3; *deest in* M^(lac.) L^b T^(lac.) H^III **6 – 8** ***II²2292** P cap. Π 5, 4 (265v[9]10–13); E cap. 170, 3; R cap. Π 5, 4; *deest in* M^(lac.) L^b T^(lac.) H^III **10 – 12** ***II²2293** P cap. Π 5, 5 (265vA[13]14–18); R cap. Π 5, 5; *deest in* M^(lac.) L^b E T^(lac.) H^III **14 – 1004, 2** ***II²2294** P cap. Π 5, 6 (265vA[18]19–26); R cap. Π 5, 6; *deest in* M^(lac.) L^b E T^(lac.) H^III

---

***II²2291** (a) P R Τοῦ] *om.* P (b) Ἡσαΐου E ***II²2292** (a) P R (b) *s. a.* E ***II²2294** (a) P (b) *s. d.* R

---

**4** εὐδία E^(a. c.) **16 – 1004, 1** ἁγίασον – Δὸς] ἁγίασον· δεκάτην δός R

Δὸς ὑψίστῳ κατὰ τὴν δόσιν αὐτοῦ,
καὶ ἐν ἀγαθῷ ὀφθαλμῷ καθ’ εὕρεμα χειρός.

## *Π$^{2}$2295 / PML$^{b}$ cap. Π 5, 7

Τοῦ αὐτοῦ·

Προσφορὰς κυρίῳ ἀξίως προσάγαγε·
μνήσθητι ὅτι θάνατος οὐ χρονιεῖ
καὶ διαθήκη Ἅδου οὐκ ἀπεκαλύφθη σοι.

## *Π$^{2}$2296 / PML$^{b}$ cap. Π 5, 8

Τοῦ αὐτοῦ·

Οὐκ εὐδοκεῖ ὁ ὕψιστος ἐν προσφοραῖς ἀσεβῶν.

## *Π$^{2}$2297 / PML$^{b}$ cap. Π 5, 9

Τοῦ αὐτοῦ·

Θυσία ἀσεβῶν βδέλυγμα κυρίῳ.

---

**13** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 14.3./3. (ed. Ihm, p. 582)

---

**5 – 7** ***Π$^{2}$2295** Sir. 14, 11$^{2}$–12$^{2}$ (Wahl, *Sirach-Text*, p. 86) **10** ***Π$^{2}$2296** Sir. 31, 23$^{1}$ (Wahl, *Sirach-Text*, p. 134) **13** ***Π$^{2}$2297** Sir., re vera Prov. 15, 8$^{1}$ (Wahl, *Proverbien-Text*, p. 75) vel 21, 27$^{1}$

---

**3 – 8 *Π$^2$2445** Παρακαλῶ – ὑμῶν] Eph. 4, 1–4 **8 – 10** Γίνεσθε – ὑμῖν] Ibid. 4, 32 **13 – 16 *Π$^2$2446** Phil. 2, 2–4 **19 – 1072, 3 *Π$^2$2447** I Thess. 5, 14–15

---

**2 – 10 *Π$^2$2445** P cap. Σ 2, 10 (304rA[28]29–304rB17); E cap. 205, 10; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **12 – 16 *Π$^2$2446** P cap. Σ 2, 11 (304rB[17]18–32); E cap. 205, 11; R cap. Σ 2, 7; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **18 – 1072, 3 *Π$^2$2447** P cap. Σ 2, 12 (304rB[33]34–304vA11); E cap. 205, 12; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R

---

***Π$^2$2445** (a) P εφεσίους *cod.* (b) *s. a.* E ***Π$^2$2446** (a) P R Ἐκ τῆς] *om.* P φιλιππισίους P (b) *s. a.* E ***Π$^2$2447** (a) P (b) *s. a.* E

---

**5** μακροθυμίας, ἀνεχόμενοι] *nulla interpunctio in* P **8** γίνεσθαι P **14** κατερίθειαν E R$^{a. c.}$, κατ᾽ ἐρίθειαν R$^{p. c.}$, κατεριθειαν P **15** ὑπερέχοντας ἑαυτῶν] *om.* E **16** καὶ] *om.* P E ἕκαστος$^2$] ἑκαστοι P

μυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας, ὁρᾶτε μὴ τίς τινι κακὸν ἀντὶ κακοῦ ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας.

### *II²2448 / PML^b cap. Σ 2, 13

Ἐκ τῆς Πέτρου α′ ἐπιστολῆς·

…ἀδελφοί, ἕκαστος καθὼς ἐλάβετε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς οἰκονόμοι ποικίλης χάριτος θεοῦ. Εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος, ἧς ἐπιχορηγεῖ ὁ θεός, ἵνα ἐν πᾶσιν ὁ θεὸς δοξάζηται διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

### *II²2449 / PML^b cap. Σ 2, 14

Τοῦ ἁγίου Βασιλείου, ἐκ τῆς Ἑξαημέρου·

Βούλεται ἡμᾶς ὁ θεῖος λόγος, οἷον ἕλιξι τισί, ταῖς περιπλοκαῖς τῆς ἀγάπης τῶν πλησίον ἀντέχεσθαι καὶ ἐπαναπαύεσθαι αὐτοῖς, ἵν᾽ ἀεὶ πρὸς τὸ ἄνω τὴν ὁρμὴν ἔχοντες, οἷον τινὲς ἀναδενδράδες, ταῖς κορυφαῖς τῶν ὑψηλοτάτων παρεικάζωμεν.

---

**6–9 *II²2448** I Petr. 4, 10–11 **12–15 *II²2449** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, V, 6 (ed. Mendieta†/Rudberg, p. 79, 23 – 80, 2)

---

**5–9 *II²2448** P cap. Σ 2, 13 (304vA[12]13–25); *deest in* M^(lac.) L^b T^(lac.) E H^III R **11–15 *II²2449** P cap. Σ 2, 14 (304vA[25–26]27–304vB4); E cap. 205, 13; R cap. Σ 2, 8; *deest in* M^(lac.) L^b T^(lac.) H^III

---

***II²2449** (a) P R (b) Βασιλείου E

---

**1** ἀντεχεσθαι P **2** μὴ – τινι] μή τις τινὶ E, μη τις τινι P **12** ἕλιξί τισι E, ἑλίξι τισι P **13** πλησίων P αὐτος P **14** ἵν᾽ ἀεὶ] ϊναει P, ἵνα ἀεὶ R οἷόν τινες E, οιον τινες P **15** ὑψηλῶν E παρεικάζομεν R, παρικάζομεν P, ἑαυτοὺς παρισάζωμεν *ed. (quae restituenda videntur)*

## *II$^{2}$2450 / PML$^{b}$ cap. Σ 2, 15

Τοῦ Θεολόγου, ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ·

Οὐδὲν οὕτως ἰσχυρὸν πρὸς ἀγάπην ὡς ἀντιδιδομένη διάθεσις.

## *II$^{2}$2451 / PML$^{b}$ cap. Σ 2, 16

Ἐκ τοῦ πρὸς τοὺς λέγοντας αὐτὸν ἐπιθυμεῖν τῆς καθέδρας Κωνσταντινουπόλεως·

Οὐκ ἐξ ὧν χαριούμεθα, σκοποῦμεν μᾶλλον, ἀλλ' ἐξ ὧν ὠφελήσομεν.

## *II$^{2}$2452 / PML$^{b}$ cap. Σ 2, 17

Τοῦ αὐτοῦ, ἐκ τοῦ γ′ εἰρηνικοῦ·

Συμβῶμεν ἀλλήλοις πνευματικῶς, γενώμεθα φιλάδελφοι μᾶλλον ἢ φίλαυτοι.

---

**11 – 12** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 63.8./70.8. (ed. Ihm, p. 933)

---

**3** ***II$^{2}$2450** GREGORIUS NAZIANZENUS, *Apologetica (Orat. 2)*, 102, 6–7 (ed. Bernardi, p. 220) **7 – 8** ***II$^{2}$2451** GREGORIUS NAZIANZENUS, *De seipso et ad eos qui ipsum cathedram Constantinopolitanam affectare dicebant (Orat. 36)*, 2, 28–29 (ed. Moreschini, p. 246) **11 – 12** ***II$^{2}$2452** GREGORIUS NAZIANZENUS, re vera *In Pentecosten (Orat. 41)*, 7, 14–15 (ed. Moreschini, p. 330)

---

**2 – 3** ***II$^{2}$2450** P cap. Σ 2, 15 (304vB[4–5]6–9); E cap. 205, 14; R cap. Σ 2, 9; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **5 – 8** ***II$^{2}$2451** P cap. Σ 2, 16 (304vB[10–11]12–15); E cap. 205, 15; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **10 – 12** ***II$^{2}$2452** P cap. Σ 2, 17 (304vB[16]17–21); E cap. 205, 16; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^{2}$2450** (a) P R (b) Θεολόγου E ***II$^{2}$2451** (a) P (b) *s. a.* E ***II$^{2}$2452** (a) P (b) *s. a.* E

---

**7 – 8** ὠφελησωμεν P

## *II$^{2}$2453 / PML$^{b}$ cap. Σ 2, 18

Τοῦ αὐτοῦ, εἰς τὴν τῶν ρν′ ἐπισκόπων παρουσίαν·

Οἱ τέλειοι τὸν θησαυρὸν τῆς πίστεως δημοσιεύειν ὀφείλομεν, οὐ στέγοντες τὴν ὠδῖνα τῆς εὐσεβείας, οὐδὲ τὸ μόνοι σώζεσθαι σωτηρίαν εἶναι νομίζοντες, εἰ μὴ καὶ ἄλλοις τὸ καλὸν ὑπερβλύσει· μεθ’ ὧν ἐγὼ ταττοίμην.

## *II$^{2}$2454 / PML$^{b}$ cap. Σ 2, 19

Τοῦ αὐτοῦ·

Τὸ σαθρὸν διορθοῦσθε τῷ κοινῷ τῆς συστάσεως, καθάπερ τῶν σχοινίων τὰ τῇ πλοκῇ δυναμούμενα.

## *II$^{2}$2455 / PML$^{b}$ cap. Σ 2, 20

<***> εἰς ἑαυτὸν μετὰ κατὰ Μάξιμον·

Τὸ κοινὸν καὶ σύννομον ἐπωφελέστατον, ὅταν κατὰ ἀρετὴν γίνεται· χρὴ γὰρ κοινωφελῶς ἔχειν ἕκαστον τὰ παρὰ τοῦ θεοῦ θεῖα χαρίσματα.

---

**3 – 6** ***II$^{2}$2453** GREGORIUS NAZIANZENUS, *Supremum vale coram centum quinquaginta episcopis (Orat. 42)*, 14, 18–21 (ed. Bernardi, p. 80) **9 – 10** ***II$^{2}$2454** GREGORIUS NAZIANZENUS, *In Aegyptiorum adventum (Orat. 34)*, 7, 24–26 (ed. Moreschini, p. 210) **13 – 15** ***II$^{2}$2455** GREGORIUS NAZIANZENUS, *In seipsum, cum rure rediisset, post ea quae a Maximo perpetrata fuerant (Orat. 26)*, locus non repertus

---

**2 – 6** ***II$^{2}$2453** P cap. Σ 2, 18 (304vB[22–23]24–35); E cap. 205, 17; R cap. Σ 2, 10; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **8 – 10** ***II$^{2}$2454** P cap. Σ 2, 19 ([304vB36]305rA1–6); E cap. 205, 18; R cap. Σ 2, 11; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **12 – 15** ***II$^{2}$2455** P cap. Σ 2, 20 (305rA[7]8–15); E cap. 205, 19; R cap. Σ 2, 12; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2453** (a) P R εἰς – παρουσίαν] *om.* R (b) *s. a.* E ***II$^{2}$2454** (a) P R (b) *s. a.* E ***II$^{2}$2455** (a) P *lemmatis initium non liquet in cod.* κατὰ] *sic cod., exspectav.* τὰ κατὰ (b) Τοῦ αὐτοῦ R (c) *s. a.* E

---

**3** των θησαυρῶν P ὀφείλουσιν E **5** νομίσαντες R καὶ] *om.* P ὑπερβλύσειεν E *(cf.* II$^{1}$1942 / K cap. Σ 4, 12*)* **6** μεθ’ – ταττοίμην] *om.* E ταττοίμην] *scripsi (ed.)*, τά$^{τ}$τοι$^{μ}$ R, τάττοιμεν P **9** διορθοῦσθαι E$^{a. c.}$, διόρθουσθαι P **10** τῇ] *om.* P **13** κατ’ ἀρετὴν E **13 – 14** γίνηται E

## *II$^2$2456 / PML$^b$ cap. Σ 2, 21

Ἐκ τοῦ εἰς Ἥρωνα τὸν φιλόσοφον·

Πανταχοῦ τὸ καθ’ ἑαυτὸν καὶ τὸ κοινὸν συλλαμβάνειν, ψυχῆς ἐστιν τελειοτάτης τὲ καὶ φιλοσοφωτάτης· οὐ γὰρ ἑαυτῷ γεγενῆσθαι μόνον, ἀλλὰ καὶ πᾶσιν, ὅσοι τῆς αὐτῆς μετέχουσι φύσεως, νοητέον, καὶ παρὰ τοῦ αὐτοῦ καὶ ἐπὶ τοῖς αὐτοῖς γεγόναμεν.

## *II$^2$2457 / PML$^b$ cap. Σ 2, 22

Τοῦ αὐτοῦ·

Τὸ κοινωνικὸν καὶ ἐπίμικτον πρὸς τῇ βασάνῳ τῆς ἀρετῆς, ἔτι καὶ εἰς τοὺς πολλοὺς †δεῖ τὸν† θείας οἰκονομίας ἐγγύς, ᾗ καὶ πεποίηκε τὸ πᾶν καὶ φιλίᾳ συνέδησεν, καὶ τὸ ἡμέτερον γένος, ἐκπεσὸν τοῦ καλοῦ διὰ τὴν ἐπεισελθοῦσαν κακίαν, ἐκ τῆς πρὸς ἡμᾶς ἐπιμιξίας καὶ ὁμιλίας πάλιν ἀνεκαλέσατο.

## *II$^2$2458 / PML$^b$ cap. Σ 2, 23

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν ἑαυτοῦ πατέρα·

Κρεῖσσόν ἐστιν καὶ πλεῖον ὥσπερ φυτοῦ ἑνὸς παράδεισον, καὶ ἀ-

---

**3 – 6** ***II$^2$2456** Gregorius Nazianzenus, *In laudem Heronis philosophi (Orat. 25)*, 4, 27–32 (ed. Mossay/Lafontaine, p. 166) **9 – 13** ***II$^2$2457** Gregorius Nazianzenus, *In laudem Heronis philosophi (Orat. 25)*, 5, 8–13 (ed. Mossay/Lafontaine, p. 166) **16 – 1076, 8** ***II$^2$2458** Gregorius Nazianzenus, *In seipsum et ad patrem (Orat. 12)*, 4, 19–28 (ed. Calvet-Sebasti, p. 356)

---

**2 – 6** ***II$^2$2456** P cap. Σ 2, 21 (305rA[16]17–30); R cap. Σ 2, 13; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ E H$^{III}$ **8 – 13** ***II$^2$2457** P cap. Σ 2, 22 (305rA[30]31–305rB11); R cap. Σ 2, 14; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ E H$^{III}$ **15 – 1076, 8** ***II$^2$2458** P cap. Σ 2, 23 (305rB[11]12–305vA5); R cap. Σ 2, 15; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ E H$^{III}$

---

***II$^2$2456** (a) P ηρωνα *cod.* (b) Τοῦ αὐτοῦ R ***II$^2$2458** Τοῦ αὐτοῦ] *om.* P ἑαυτοῦ] *om.* R

---

**3** συνλαμβανειν P **3 – 4** ψυχῆς ἐστὶ R **4** εαυτοῦ P **5** ἑαυτης P **6** αὐτοῦ] ἑαυτοῦ P **10** †δεῖ τὸν†] *cruces apposui*, δεῖ τον P, διατεῖνον, καὶ *ed.* ἐγγύς] ἐγγὺς ἧκον *ed.* **12** ἐπισελθουσαν P, ὑπεισελθοῦσαν R **16** Κρεῖσσον γὰρ εἶναι *ed.* πλεῖον] *scripsi (ed.)*, πλειόνων P R

στέρος ἑνὸς οὐρανὸν σὺν τοῖς ἐν αὐτῷ κάλλεσι, καὶ μέλους σῶμα, οὕτω καὶ θεῷ κατορθοῦντος ἑνὸς ὅλην ἐκκλησίαν κατηρτισμένην· καὶ χρῆναι μὴ τὰ ἑαυτοῦ μόνον σκοπεῖν, ἀλλὰ καὶ τὰ τῶν ἄλλων. Ἐπεὶ καὶ Χριστὸς οὕτως, ᾧ μεῖναι ἐξὸν ἐπὶ τῆς ἰδίας φύσεως καὶ θεότητος, οὐ μόνον *ἐκένωσεν ἑαυτὸν* μέχρι τῆς τοῦ *δούλου μορφῆς*, ἀλλὰ καὶ *σταυρὸν ὑπέμεινεν, αἰσχύνης καταφρονήσας*, ἵνα ἐν τοῖς ἑαυτοῦ πάθεσιν ἀναλώσῃ τὴν ἁμαρτίαν καὶ ἀποκτείνῃ τῷ θανάτῳ τὸν θάνατον.

## *II$^{2}$2459 / PML$^{b}$ cap. Σ 2, 24

Φίλωνος, ἐκ τοῦ περὶ τῶν μετονομαζομένων·

Κοινωνικὸν καὶ οὐ μονωτικὸν ζῶον ὁ ἄνθρωπος.

## *II$^{2}$2460 / PML$^{b}$ cap. Σ 2, 25

Ἐκ τοῦ αὐτοῦ λόγου·

Τῷ Ἀβραὰμ εἴρηται ἐκ προσώπου τοῦ θεοῦ· *Εὐαρέστει ἐνώπιον ἐμοῦ*, τουτέστι μὴ ἐμοὶ μόνῳ, ἀλλὰ καὶ τοῖς ἐμοῖς ἔργοις παρ᾽ ἐμοὶ κριτῇ, ὡς ἐφόρῳ καὶ ἐπισκόπῳ. Τιμῶν γὰρ γονεῖς ἢ πένητας ἢ φίλους εὐεργετῶν ἢ πατρίδος ὑπερασπίζων ἢ τῶν κοινῶν πρὸς πάντας ἀνθρώπους δικαίων ἐπιμελούμενος, εὐαρεστήσεις μὲν πάντως

**5 – 6** Phil. 2, 7 **6** Hebr. 12, 2 **14 – 15** Gen. 17, 1

**11** ***II$^{2}$2459** PHILO IUDAEUS, *De mutatione nominum*, locus non repertus; Harris 105.3; Royse 176.43 **14 – 1077, 2** ***II$^{2}$2460** Τῷ – πάντα] PHILO IUDAEUS, *De mutatione nominum*, 39 (ed. Wendland, p. 163, 14–20)

**10 – 11** ***II$^{2}$2459** P cap. Σ 2, 24 (305vA[5]6–8); E cap. 205, 20; R cap. Σ 2, 16; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **13 – 1077, 7** ***II$^{2}$2460** P cap. Σ 2, 25 (305vA[8]9–305vB15); E cap. 205, 21; R cap. Σ 2, 17; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

***II$^{2}$2459** ἐκ – μετονομαζομένων] *om.* E R ***II$^{2}$2460** (a) P (b) Τοῦ αὐτοῦ R (c) *s. a.* E

**1** οὐρανοῦ P σῶμα] *scripsi (ed.)*, σώματος P R **3** καὶ χρῆναι] κεχρηναι P **4** ᾧ] *scripsi (ed.)*, ὧ P, ὡς R **7** αποκτεινει P **14 – 1077, 6** Τῷ – τὲ] *om.* E **14** ἀβρααμ P, ἀβραὰμ R εὐαρεστειν P **16** κριτῇ, ὡς] κριτης ῶ *(ῶ s. l.)* P **18** ἐπιμελωμενος P

τοῖς χρωμένοις, θεοῦ δὲ *ἐνώπιον εὐαρεστήσεις*· ἀκοιμήτῳ γὰρ ὀφθαλμῷ βλέπει πάντα. Τοιαῦτα οὖν πράττε, ἃ γενήσεται ἐπάξια τοῦ φανῆναι θεῷ, καὶ ἅπερ ἰδὼν ἀποδέξεται. Τὸ γὰρ καθ’ ἑ<κα>τέραν ἀξίαν εὐδοκιμῆσαι, καὶ τὴν πρὸς τὸ ἀγένητον καὶ τὴν πρὸς τὸ γενόμενον, οὐ μικρᾶς ἐστιν διανοίας, ἀλλὰ κόσμου καὶ θεοῦ μεθορίου· συνόλως τὲ προσήκει τὸν ἀστεῖον, ὀπαδὸν εἶναι θεοῦ· μέλει γὰρ τῷ πάντων ἡγεμόνι καὶ πατρὶ τοῦ γενομένου.

---

**1** Gen. 17, 1

---

**2 – 3** Τοιαῦτα – ἀποδέξεται] IBID., 42 (p. 164, 2–3) **3 – 7** Τὸ – γενομένου] IBID., 45 (p. 164, 15–19)

---

**2 – 3** γενήσεται – θεῷ] φανῆναι θεῶι γενήσεται ἐπάξια R **3 – 4** καθ’ ἑκατέραν] *scripsi (ed.)*, καθ’ ἑτέραν R, καθετεραν P **4** ἀξίαν] τάξιν *ed.* αγένητον P, ἀγέννητον R **5** γενόμενον] *sic* P R$^{a. c.}$, γεννώμενον R$^{p. c.}$ οὐ] *s. l.* R μικρᾶς ἐστὶ R **6** ὀπαδον ἐστιν P **7** μέλει – γενομένου] *om.* E μέλλει R καὶ] παι *(sic)* P

## **<Τίτλος> γʹ  Περὶ συναλλαγμάτων.**

### ***$II^2$2461 / $PML^b$ cap. Σ 3, 1**

Παροιμιῶν·

Φύλαξον τὰς ὁδούς σου εὐσυνα<λ>λάκτως.

### ***$II^2$2462 / $PML^b$ cap. Σ 3, 2**

Σιράχ·

Μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν,
καὶ εἰς τὸ ἀποδοῦναι συνεσταλμένη.

---

**7 – 8** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 22.3./4. (ed. Ihm, p. 515)

---

**4 *$II^2$2461** Prov. 25, $10a^3$ (Wahl, *Proverbien-Text*, p. 124) **7 – 8 *$II^2$2462** Sir. 4, $31^{1-2}$ (Wahl, *Sirach-Text*, p. 56)

---

**1 Titlos** P (305vB16) $M^{pin}$ $L^{b\ pin}$ $A^{III\ pin}$; *deest in* $M^{txt\ (lac.)}$ $L^{b\ txt}$ $T^{(lac.)}$ $H^{III}A^{III\ txt}$ R **3 – 4 *$II^2$2461** P cap. Σ 3, 1 (305vB[17]18–19); *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ R **6 – 8 *$II^2$2462** P cap. Σ 3, 2 (305vB[20]21–25); *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ R

---

**1** Τίτλος] *supplevi* γʹ] *propt. mg. resect. non liquet in* $A^{III\ pin}$ *(βʹ secund. ser.)*

---

***$II^2$2461** Παροιμιῶν] *scripsi*, παροιμειῶν P

---

**4** εὐσυναλλάκτως] *scripsi*, εὐσυναλακτως P

## Τίτλος δʹ Περὶ *τῶν ἑαυτοὺς συνιστανόντων*, ὅτι μάτην κοπιῶσιν· *πᾶσα* γὰρ *δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον, ἄνωθεν* ἐκ θείας ψήφου τὸ βέβαιον καὶ σταθηρὸν ἔχει, ἡ δὲ οἴκοθεν προβολὴ καὶ κατὰ ἄνθρωπον ἔωλος καὶ ἀβέβαιος.

### *II²2463 / PMLᵇ cap. Σ 4, 1

Ἐκ τῶν Ἀριθμῶν·

Ἐλάλησεν Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρών, καὶ ἀναστάντες ἔναντι Μωϋσῆ καὶ Ἀαρών, καὶ ἄνδρες τῶν υἱῶν Ἰσραὴλ πεντήκοντα καὶ διακόσιοι, ἀρχηγοὶ συναγωγῆς, σύγκλητοι βουλῆς καὶ ἄνδρες ὀνομαστοί, ἐπισυνέστησαν ἐπὶ Μωϋσῆν καὶ Ἀαρών, καὶ λέγουσιν· Ἐχέτω ὑμῖν, ὅτι πᾶσα ἡ συναγωγὴ κυρίου πάντες ἅγιοι, καὶ ἐν αὐτοῖς κύριος· καὶ διατί κατεξανίστασθε ἐπὶ τὴν συναγωγὴν κυρίου; Μὴ μικρὸν ὅτι ἀνήγαγες ἡμᾶς ἐκ τῆς Αἰγύπτου, ἐκ γῆς ῥεούσης γάλα καὶ μέλι, ἀποκτεῖναι ἡμᾶς ἐν τῇ ἐρήμῳ, ὅτι κατάρχεις ἡμῶν; Καὶ ἐβαρυθύμησε Μωϋσῆς σφόδρα, καὶ εἶπεν πρὸς κύριον· Μὴ προσχῇς εἰς τὴν θυσίαν αὐτῶν· οὐκ ἐπιθύμημα οὐδενὸς εἴληφα αὐτῶν, οὐδὲ ἐκάκωσα αὐτῶν οὐδένα.

---

**1** II Cor. 10, 18 **2** Iac. 1, 17

---

**7 – 12** ***II²2463** Ἐλάλησεν – κυρίου] Num. 16, 1–3 **13 – 14** Μὴ – ἡμῶν] Ibid. 16, 13 **15 – 17** Καὶ – οὐδένα] Ibid. 16, 15

---

**1 – 4 Titlos** P (305vB26–33) $M^{pin}$ $L^{b\ pin}$ $E^{txt}$ $A^{III\ pin}$ R; *deest in* $M^{txt\ (lac.)}$ $L^{b\ txt}$ $E^{pin\ (lac.)}$ $T^{(lac.)}$ $H^{III}A^{III\ txt}$ **6 – 17 *II²2463** P cap. Σ 4, 1 (305vB[33]34–306rA34); E cap. 206, 1; R cap. Σ 3, 1; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* $PM^{pin}$ $L^{b\ pin}$ $E^{txt}$ $A^{III\ pin}$ $R^{pin}$ δʹ] γʹ R, ϛʹ $E^{txt}$, *propt. mg. resect. non liquet in* $A^{III\ pin}$ *(*ιγʹ *secund. ser.)* **1 – 4** ὅτι – ἀβέβαιος] *om.* $M^{pin}$ **1 – 2** ὅτι – κοπιῶσιν] *om.* $A^{III\ pin}$ **3** σταθερὸν $E^{txt}$ **3 – 4** ἡ – ἀβέβαιος] *om.* R **3 – 4** προσβολὴ $L^{b\ pin}$

---

***II²2463** Ἐκ τῶν] *om.* E Ἐκ] *om.* P

---

**7** κορε P δαθαν P, δαθὰ R ἀβιρων P **8** μωϋση P, μωσῆ R ἀάρων P, αἀρὼν *(sic)* E **8 – 9** πεντήκοντα – ἀρχηγοὶ] πεντήκοντα· καὶ διακόσιοι ἀρχηγοὶ R, *nulla interpunctio in* P E **9** συνκλητοι P, συγκλήτου E **10** μωϋσην P, μωϋσεῖ R αarῶν P **11** κυρίου] *om.* R **12** κατεξανιστασθαι P **13** ἡμᾶς] *post* Αἰγύπτου *transpos.* R αιγυπτου P **16** πρόσχης E επεθυμημα P

## *II²2464 / PML$^b$ cap. Σ 4, 2

Σχόλιον·

Τούτων ἡ ἀλαζονεία καὶ φιλαρχία ξένον προεξένησαν θάνατον, χάσμασι γῆς τῷ Ἅδῃ παραδοθέντες.

## *II²2465 / PML$^b$ cap. Σ 4, 3

Βασιλειῶν β′·

Ἐποίησεν ἑαυτῷ Ἀβεσαλὼμ ἅρματα καὶ ἵππους καὶ πεντήκοντα ἄνδρας παρατρέχειν ἔμπροσθεν αὐτοῦ. Καὶ ὤρθριζεν Ἀβεσαλώμ, καὶ ἔστη ἀνὰ χεῖρα τῆς ὁδοῦ τῆς πύλης· καὶ ἐγένετο πᾶς ἀνήρ, ᾧ ἐγένετο κρίσις, ἐλθεῖν πρὸς τὸν βασιλέα εἰς κρίσιν, καὶ ἐβόησεν Ἀβεσαλὼμ πρὸς αὐτόν, καὶ ἔλεγεν· Ἐκ ποίας πόλεως σὺ εἶ; Καὶ εἶπεν ὁ ἀνήρ· Ἐκ μίας φυλῶν Ἰσραὴλ ὁ δοῦλος σου. Καὶ εἶπεν πρὸς αὐτὸν Ἀβεσαλώμ· Ἰδοὺ οἱ λόγοι σου ἀγαθοὶ καὶ εὔκολοι, καὶ ἀκούων σου οὐκ ἔστιν παρὰ τοῦ βασιλέως. Καὶ εἶπεν Ἀβεσαλώμ· Τίς με καταστήσει κριτὴν ἐν τῇ γῇ, καὶ ἐπ᾽ ἐμὲ ἐλεύσεται πᾶς ἀνήρ, ᾧ ἐὰν ᾖ ἀντιλογία καὶ κρίσις, καὶ δικαιώσω αὐτόν; Καὶ ἐγένετο ἐν τῷ ἐγγίζειν ἄνδρα τοῦ προσκυνῆσαι αὐτῷ, καὶ ἐξέτεινεν τὴν χεῖρα αὐτοῦ, καὶ κατελαμβάνετο αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν. Καὶ ἐποίησεν Ἀβεσαλὼμ κατὰ τὸ ῥῆμα τοῦτο παντὶ Ἰσραὴλ τοῖς παραγινομένοις εἰς κρίσιν πρὸς τὸν βασιλέα· καὶ ἰδιοποιεῖτο Ἀβεσαλὼμ τὴν καρδίαν ἀνδρῶν Ἰσραήλ.

---

**4** χάσμασι – παραδοθέντες] cf. Num. 16, 32–33

---

**3 – 4** ***II²2464*** *Scholion in Num. 16, 1–3; 13 et 15* **7 – 21** ***II²2465*** II Reg. 15, 1–6 (Wahl, *2 Samuel-Text*, p. 89–90)

---

**2 – 4** ***II²2464*** P cap. Σ 4, 2 (306rA[mg]35–306rB4); E cap. 206, 2; R cap. Σ 3, 2; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **6 – 21** ***II²2465*** P cap. Σ 4, 3 (306rB[4]5–306vA18); E cap. 206, 3; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R

---

**3** ξένον] *om.* R προὲξενησαν P, προεξένησε R, προσεξένισε E **4** χάσματι R ᾄδη R, ἅδη E, ἀδη P παραδοθέντας R **7** ἀβεσαλωμ P πεντικοντα P **8** ὀρθριζεν P, ὤρθρισεν E ἀβεσαλωμ P **11** ἀβεσαλωμ P **13** ἀβεσαλωμ P, ὁ ἀβεσαλὼμ E **13 – 14** ἀκούων σου] *praem.* ὁ E **14 – 21** εἶπεν – Ἰσραήλ] τὰ ἑξῆς E **14** ἀβεσαλωμ P **16** κρίσις] *scripsi (LXX)*, κρισε P *(propt. mg. resect. finis vocabuli deest)* **19** ἀβεσαλωμ P **21** αβεσαλωμ P

## *II$^2$2466 / PML$^b$ cap. Σ 4, 4

Σχόλιον·

Καὶ τούτου τὸ ὕψηλον φρόνημα εἰς ὕψος δρυὸς ἀνεσκολόπισεν ἀπὸ τριχῶν.

## *II$^2$2467 / PML$^b$ cap. Σ 4, 5

Βασιλειῶν γʹ·

Καὶ Ἀδωνίας υἱὸς Ἀγγὶθ ἐπήρετο, λέγων· Ἐγὼ βασιλεύσω. Καὶ ἐποίησεν ἑαυτῷ ἅρματα καὶ ἱππεῖς καὶ πεντήκοντα ἄνδρας παρατρέχοντας ἔμπροσθεν αὐτοῦ.

## *II$^2$2468 / PML$^b$ cap. Σ 4, 6

Σχόλιον·

Καὶ οὗτος ἐπάρσει φερόμενος, ἑαυτῷ διενοήθη κληρονομῆσαι τὴν βασιλείαν· μὴ τυχὼν δὲ τοῦ πρώτου σκοποῦ, ἐπὶ δεύτερον ἦλθεν ἄθεσμον, διὰ τῆς τοῦ πατρὸς συγκοίτου, ὑπειληφώς, εἰ ταύτης εἰς γάμον προσομιλήσειεν, περικρατῆσαι τῆς βουλήσεως· ἥτις τῷ ἐκ

---

**3** ἀνεσκολόπισεν] cf. II Reg. 18, 9 **13** μὴ – σκοποῦ] cf. III Reg. 1, 39 **14 – 15** εἰ – προσομιλήσειεν] cf. ibid. 2, 17 **15 – 1082, 1** ἥτις – παρέδωκεν] cf. ibid. 2, 25

---

**3 – 4** ***II$^2$2466** *Scholion in II Reg. 15, 1–6* **7 – 9** ***II$^2$2467** III Reg. 1, 5 (Wahl, *3 Könige-Text*, p. 100) **12 – 1082, 2** ***II$^2$2468** *Scholion in III Reg. 1, 5*

---

**2 – 4** ***II$^2$2466** P cap. Σ 4, 4 (306vA18–22); E cap. 206, 4; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **6 – 9** ***II$^2$2467** P cap. Σ 4, 5 (306vA[22]23–30); E cap. 206, 5; R cap. Σ 3, 3; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **11 – 1082, 2** ***II$^2$2468** P cap. Σ 4, 6 (306vA31–306vB13); E cap. 206, 6; R cap. Σ 3, 4; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2466** (a) E (b) *propt. mg. resect. non liquet in* P ***II$^2$2468** (a) E R (b) *propt. mg. resect. non liquet in* P

---

**3** τούτου] τοῦτον E **4** τριχῶν] *praem.* τῶν E **7** αδωνιας P ἀγγὴθ E, ἀγγηθ P ἐπήρετο] *sic* P E *(ab* ἐπαίρω*)*, ἐπῆρτο R **8** πεντικοντα P **8 – 9** ἄνδρες παρατρέχοντες R **12** οὗτος] ουτως P **13** τυχὸν E **14** συνκυτου P ταύτη R$^{a. c. ut videtur}$ **15** προσομιλήσειεν] ἐπικρατήσειε R βουλήσεως] βασιλείας E ἥτις] ὅστις E

ῥομφαίας ὀλέθρῳ παρέδωκεν, κρίσει τοῦ ἤδη κατεσχηκότος τῶν σκήπτρων Σολομῶντος.

## *II$^2$2469 / PML$^b$ cap. Σ 4, 7

Πρὸς Κορινθίους β′·

Οὐχ᾽ ὁ ἑαυτὸν συνιστάνων, ἐκεῖνός ἐστιν δόκιμος, ἀλλ᾽ ὃν ὁ κύριος συνίστησιν.

## *II$^2$2470 / PML$^b$ cap. Σ 4, 8

Ἐκ τῆς πρὸς Ῥωμαίους·

Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ εὐδοκοῦντος θεοῦ.

## *II$^2$2471 / PML$^b$ cap. Σ 4, 9

Ἐκ τῆς πρὸς Ἑβραίους·

Οὐχ᾽ ἑαυτῷ τίς λαμβάνει τὴν τιμήν, ἀλλ᾽ ὁ καλούμενος ὑπὸ τοῦ θεοῦ.

---

**1 – 2** κρίσει – Σολομῶντος] cf. III Reg. 2, 24 **5 – 6** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 63.2./70.2. (ed. Ihm, p. 931)

---

**5 – 6** ***II$^2$2469** II Cor. 10, 18 **9 – 10** ***II$^2$2470** Rom. 9, 16 **13 – 14** ***II$^2$2471** Hebr. 5, 4

---

**4 – 6** ***II$^2$2469** P cap. Σ 4, 7 (306vB[14]15–18); E cap. 206, 7; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **8 – 10** ***II$^2$2470** P cap. Σ 4, 8 (306vB[19]20–23); E cap. 206, 8; R cap. Σ 3, 5; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **12 – 14** ***II$^2$2471** P cap. Σ 4, 9 (306vB[23]24–27); E cap. 206, 9; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^2$2469** (a) P (b) Ἀποστόλου E ***II$^2$2470** (a) P R Ἐκ τῆς] *om.* R (b) *s. a.* E ***II$^2$2471** (a) P εβραίους *cod.* (b) *s. a.* E

---

**1** παρεδόθη E **2** σολομωντος P **5** ἐκεῖνος ἐστὶν P **9** εὐδοκοῦντος] ἐλεοῦντος E, ελεοῦντος P *(ἐλεῶντος NT)* **13** ἑαυτῶ τις P

## *II²2472 / PMLᵇ cap. Σ 4, 10

Ἐκ τῆς Ἰακώβου·

Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθεν ἐστίν, καταβαῖνον ἐκ τοῦ πατρὸς τῶν φώτων.

---

**3 – 4** ***II²2472** Iac. 1, 17

---

**2 – 4** ***II²2472** P cap. Σ 4, 10 (306vB[28]29–34); E cap. 206, 10; *deest in* M(lac.) Lb T(lac.) HIII R

---

***II²2472** (a) P (b) Ἀποστόλου Ἰακώβου E

---

**3** ἄνωθέν ἐστι E

$II^{1}$ / K cap. Σ 8

## Τίτλος ε′ Περὶ σαρκικῶν ἀνθρώπων, τῶν τοῖς σαρκικοῖς πάθεσι δεδουλωμένων.

$II^{1}$1979 / K cap. Σ 8, 1

### *$II^{2}$2473 / $PML^{b}$ cap. Σ 5, 1

Ἀπὸ τῆς Γενέσεως·

Ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς· ἰδόντες δὲ οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. Καὶ εἶπεν κύριος ὁ θεός· Οὐ μὴ καταμείνῃ τὸ πνεῦμα μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας.

### *$II^{2}$2474 / $PML^{b}$ cap. Σ 5, 2

Σχόλιον·

Φύγωμεν τὴν μίμησιν τῶν κατεγνωσμένων, καὶ μὴ ἐκδῶμεν ἑαυτοὺς σαρκικῷ φρονήματι, ἀκούοντες λέγοντος μάλιστα τοῦ θεοῦ· *Οὐ μὴ καταμείνῃ τὸ πνεῦμα μου ἐν τοῖς ἀνθρώποις τούτοις*. Ὁ γὰρ ἐστερημένος τῆς τοῦ ἁγίου πνεύματος μετοχῆς, ἐναγὴς γενόμε-

---

**15** Gen. 6, 3

---

**5 – 10** ***$II^{2}$2473** Gen. 6, 1–3 **13 – 1085, 3** ***$II^{2}$2474** *Scholion in Gen. 6, 1–3*

---

**1 – 2** **Titlos** P (306vB34–35) $M^{pin}$ $L^{b\,pin}$ $E^{txt}$ $A^{III\,pin}$ R; *deest in* $M^{txt\,(lac.)}$ $L^{b\,txt}$ $E^{pin\,(lac.)}$ $T^{(lac.)}$ $H^{III}$$A^{III\,txt}$ **4 – 10** ***$II^{2}$2473** P cap. Σ 5, 1 (306vB[35]36–307rA16); E cap. 207, 1; R cap. Σ 4, 1; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$ **12 – 1085, 3** ***$II^{2}$2474** P cap. Σ 5, 2 (307rA[mg]16–36); E cap. 207, 2; R cap. Σ 4, 2; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* P$M^{pin}$ $L^{b\,pin}$ $E^{txt}$ $A^{III\,pin}$ $R^{pin}$ ε′] γ′ $A^{III\,pin}$, δ′ R, cζ′ $E^{txt}$ **1 – 2** τῶν – δεδουλωμένων] *om.* $M^{pin}$ **2** καταδεδουλωμένων R

---

***$II^{2}$2473** Ἀπὸ τῆς] *om.* P E

---

**6** ἐγενηθησαν P **7** καλαὶ εἰσὶν R **8** πασῶν, ὧν] παντὸς γένους, οὗ R **13** μίμησιν] μῖξιν R ἐνδῶμεν R **14** λέγοντος] *om.* R **15** τοῖς – τούτοις] ἀνθρώποις τοιούτοις P τούτοις] *add.* διὰ τὸ εἶναι αὐτοὺς σάρκας *(= Gen. 3, 6)* E **15 – 1085, 3** Ὁ – υἱοθεσίας] *om.* E **15** Ὁ] *in mg. add.* σχολ P *(signo quo solebant scribae ad textum in mg. referre apposito)*

νος καὶ θεοστυγής, ἐν ναυαγίῳ ἔσηται πυρός, ἑαυτὸν τῆς εἰρημένης θείας κατὰ χάριν δι᾽ οἰκείαν ἀκαθαρσίαν ἀποστερήσας υἱοθεσίας.

## *II²2475 / PML$^b$ cap. Σ 5, 3

Ἀπὸ τῆς αὐτῆς·

Οἱ ἄνθρωποι οἱ ἐν Σοδόμοις πονηροὶ καὶ ἁμαρτωλοὶ ἐνώπιον τοῦ θεοῦ σφόδρα.

## *II²2476 / PML$^b$ cap. Σ 5, 4

Καὶ μεθ᾽ ἕτερα·

Οἱ ἄνδρες τῆς πόλεως, οἱ Σοδομεῖται, περιεκύκλωσαν τὴν οἰκίαν τοῦ Λὼτ ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, ὅλος ὁ λαός, καὶ ἐξεκαλοῦντο τὸν Λώτ, καὶ ἔλεγον πρὸς αὐτόν· Ποῦ εἰσιν οἱ ἄνδρες οἱ ἐλθόντες πρὸς σὲ τὴν νύκτα; Ἐξάγαγε αὐτοὺς πρὸς ἡμᾶς, ἵνα συγγενώμεθα αὐτοῖς. Ἐξῆλθεν δὲ πρὸς αὐτοὺς Λὼτ πρὸς τὸ πρόθυρον, τὴν δὲ θύραν προσέωξεν ὀπίσω αὐτοῦ. Εἶπεν δὲ αὐτοῖς· Μηδαμῶς, ἀδελφοί, πονηρεύεσθε. Εἰσὶν δέ μοι δύο θυγατέρες, αἳ οὐκ ἔγνωσαν ἄνδρα· ἐξάγω αὐτὰς πρὸς ὑμᾶς, καὶ χρᾶσθε αὐταῖς, καθὼς ἐὰν ἀρέσῃ ὑμῖν· μόνον τοὺς ἄνδρας τούτους μὴ ποιήσητε μηδὲν ἄδικον, οὗ εἵνεκεν εἰσῆλθον ὑπὸ τὴν σκέπην τῶν δοκῶν μου. Εἶπον δέ· Ἀπόστα ἐκεῖ. Εἰσῆλθες παροικεῖν, μὴ καὶ κρίσιν κρίνειν; Νῦν οὖν σὲ κακώσομεν μᾶλλον ἢ ἐκείνους. Καὶ παρεβιά-

---

**6 – 7** ***II²2475** Gen. 13, 13 **10 – 1086, 5** ***II²2476** Οἱ – θύραν] Gen. 19, 4–11

---

**5 – 7** ***II²2475** P cap. Σ 5, 3 (307rB[1]2–5); E cap. 207, 3; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **9 – 1086, 9** ***II²2476** P cap. Σ 5, 4 (307rB[6]7–307vB5); E cap. 207, 4; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II²2475** (a) P (b) *s. a.* E ***II²2476** (a) P (b) *s. a.* E

---

**1** ἔσηται] *sic mire* P, ἔσεται R **2** κατὰ – ἀποστερήσας] *post* υἱοθεσίας *transpos.* P **6** σοδομοις P **10** σοδομειται P, σοδομῖται E **11** λωτ P **12** λωτ P **13** Ἐξάγαγε] *praem.* καὶ P **13 – 14** συνγενώμεθα P **14** λωτ P **16** πονηρεύεσθαι P **17 – 18** καθὼς] καθὸ E **21** οὖν σὲ] οὖν σε P, σὲ E κακώσομεν] *scripsi (LXX)*, κακώσωμεν *(*-κω- P*)* P E

σαντο τὸν Λὼτ σφόδρα, καὶ ἤγγισαν συντρίψαι τὴν θύραν. Ἐκτείναντες δὲ οἱ ἄνδρες τὰς χεῖρας, εἰσεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς εἰς τὴν οἰκίαν, καὶ τὴν θύραν τῆς οἰκίας ἀπέκλεισαν· τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ τὴν θύραν τοῦ οἴκου ἐπάταξαν ἀορασίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν. Καὶ μετὰ ταῦτα ἔβρεξεν κύριος ὁ θεὸς ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέστρεψεν τὰς πόλεις πάσας καὶ πᾶσαν τὴν περίχωρον καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσι καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς.

## *II$^{2}$2477 / PML$^{b}$ cap. Σ 5, 5

Ἀμὼς προφήτου·

Υἱὸς καὶ πατὴρ εἰσεπορεύοντο πρὸς τὴν αὐτὴν παιδίσκην, ὅπως βεβηλώσουσιν τὸ ὄνομα τοῦ θεοῦ αὐτῶν. Διατοῦτο ἰδοὺ ἐγὼ κυλίω ὑποκάτω ὑμῶν, ὃν τρόπον κυλίεται ἡ ἅμαξα ἡ γέμουσα καλάμην· καὶ ἀπολεῖται φυγεῖν ἐκ δρομέως, καὶ ὁ κραταιὸς οὐ κρατήσει τῆς ἰσχύος αὐτοῦ, καὶ ὁ μαχητὴς οὐ μὴ σώσει τὴν ψυχὴν αὐτοῦ, καὶ ὁ τοξότης οὐ μὴ ὑποστῇ, καὶ ὁ ὀξὺς τοῖς ποσὶν αὐτοῦ οὐ μὴ διασωθῇ, οὐδὲ ἱππεὺς οὐ μὴ σώσει τὴν ψυχὴν αὐτοῦ, καὶ εὕρῃ τὴν καρδίαν αὐτοῦ ἐν δυναστείαις.

**II$^{1}$1984 / K cap. Σ 8, 6**

## *II$^{2}$2478 / PML$^{b}$ cap. Σ 5, 6

Ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς·

Τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν· τῷ γὰρ νόμῳ τοῦ θεοῦ

**6 – 9** Καὶ – γῆς] Gen. 19, 24–25 **12 – 13** ***II$^{2}$2477** Υἱὸς – αὐτῶν] Am. 2, 7 (Wahl, *Prophetenzitate*, p. 179) **13 – 19** Διατοῦτο – δυναστείαις] Ibid. 2, 13–16 (Wahl, p. 179–180) **22 – 1087, 2** ***II$^{2}$2478** Rom. 8, 7–8

**11 – 19** ***II$^{2}$2477** P cap. Σ 5, 5 (307vB[6]7–307vB33); *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ E H$^{III}$ R **21 – 1087, 2** ***II$^{2}$2478** P cap. Σ 5, 6 (307vB[33]34–308rA5); E cap. 207, 5; R cap. Σ 4, 3; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

***II$^{2}$2477** ἀμῶς P ***II$^{2}$2478** (a) P R ἐπιστολῆς] *om.* R (b) Ἀποστόλου E

**1** λωτ P **2** λωτ P **6** σοδομα P γομορρα P **15** φυγεῖν] *lectio suspecta*, φυγὴ *LXX* ἐκ δρομέως] *scripsi (LXX)*, ἐκδρομαίως P **17** ποσὶν] *scripsi (LXX)*, πᾶσιν P

οὐχ’ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται· οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται.

## *$\mathrm{II}^{2}$2479 / $\mathrm{PML}^{b}$ cap. Σ 5, 7

Ἐκ τῆς πρὸς Κορινθίους α′·

Ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ· μωρία γὰρ αὐτῷ ἐστιν καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται.

## *$\mathrm{II}^{2}$2480 / $\mathrm{PML}^{b}$ cap. Σ 5, 8

Ἐκ τῆς πρὸς Κορινθίους β′·

Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ’ ἅρπαγες βασιλείαν θεοῦ κληρονομήσουσιν.

## *$\mathrm{II}^{2}$2481 / $\mathrm{PML}^{b}$ cap. Σ 5, 9

**$\mathrm{II}^{1}$1983 / K cap. Σ 8, 5**

Ἐκ τῆς πρὸς Γαλάτας·

Φανερά ἐστιν τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστι πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυ-

**5 – 7** ***$\mathrm{II}^{2}$2479** I Cor. 2, 14 **10 – 13** ***$\mathrm{II}^{2}$2480** I Cor. 6, 9–10 **16 – 1088, 3** ***$\mathrm{II}^{2}$2481** Gal. 5, 19–21

**4 – 7** ***$\mathrm{II}^{2}$2479** P cap. Σ 5, 7 (308rA[5]6–12); E cap. 207, 6; *deest in* $\mathrm{M}^{(lac.)}$ $\mathrm{L}^{b}$ $\mathrm{T}^{(lac.)}$ $\mathrm{H}^{III}$ R **9 – 13** ***$\mathrm{II}^{2}$2480** P cap. Σ 5, 8 (308rA[12]13–24); E cap. 207, 7; *deest in* $\mathrm{M}^{(lac.)}$ $\mathrm{L}^{b}$ $\mathrm{T}^{(lac.)}$ $\mathrm{H}^{III}$ R **15 – 1088, 3** ***$\mathrm{II}^{2}$2481** P cap. Σ 5, 9 (308rA[25]26–308rB7); E cap. 207, 8; R cap. Σ 4, 4; *deest in* $\mathrm{M}^{(lac.)}$ $\mathrm{L}^{b}$ $\mathrm{T}^{(lac.)}$ $\mathrm{H}^{III}$

***$\mathrm{II}^{2}$2479** (a) P (b) *s. a.* E ***$\mathrm{II}^{2}$2480** (a) P (b) *s. a.* E ***$\mathrm{II}^{2}$2481** (a) P R Ἐκ τῆς] *om.* R (b) *s. a.* E

**6** πνευματικῶς] πνικὸς *(sic)* P **10** πλανασθαι P **11 – 13** οὔτε[1] – κληρονομήσουσιν] *om.* E **17** φαρμακιαι P ἔρεις] *sic* P E R

μοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν.

## *II$^2$2482 / PML$^b$ cap. Σ 5, 10

Σχόλιον·

Τοὺς ἐν τοῖς ἀθέσμοις τούτοις βεβιωκότας καὶ ἐκδεδωκότας τὴν ἑαυτῶν ζωὴν *σάρκα καὶ αἷμα* ὁ ἔνθεος ἡμῶν κέκληκε παιδευτής, πανσόφως τῇ κατ' ἀρχὰς ἐξακολουθήσας θείᾳ φωνῇ, οὑτωσὶ ἀναγορευσάσῃ τοὺς πρὸς τὸ φρόνημα τὸ σαρκικὸν ἐξοκείλαντας, ὥς φησίν· *Οὐ μὴ καταμείνῃ τὸ πνεῦμα μου ἐν τοῖς ἀνθρώποις τούτοις διὰ τὸ εἶναι αὐτοὺς σάρκας.* Ὅθεν καὶ ἀπεκήρυξε τῆς ἀχράντου καὶ ἁγίας ἐν βασιλείαις θεοῦ κληρονομίας, καθὰ καὶ ὁ κύριος ἐκείνους τῆς σωτηρίας. Οὐ μόνον ἐν τοῖς προγεγραμμένοις, ἀλλὰ δὴ καὶ ἐν τοῖς πρὸς Κορινθίους ἐπέστελλε, λέγων· *Σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ*, τουτέστι <τοὺς> φθορὰν καὶ ἀσέλγειαν τῆς ἐν ἁγνείᾳ καὶ σωφροσύνῃ ζωῆς θεαρέστου προκρίναντας, κἀνταῦθα *σάρκα καὶ αἷμα* προσφόρως ὀνομάσας.

---

7 I Cor. 15, 50 **9** φρόνημα – σαρκικὸν] cf. Rom. 8, 6–7 **10 – 11** Gen. 6, 3 **12** ἐν – κληρονομίας] cf. Gal. 5, 21 **14 – 16** I Cor. 15, 50 **17 – 18** Ibid.

---

**6 – 18** ***II$^2$2482** *Scholion in Gal. 5, 19–21*

---

**5 – 18** ***II$^2$2482** P cap. Σ 5, 10 (308rB[mg]8–308vA16); E cap. 207, 9; R cap. Σ 4, 5; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

**1** ἐριθεῖαι] ἐρίθειαι R, *sine acc.* P αἱρέσεις] ἔρεις E **8 – 18** πανσόφως – ὀνομάσας] *om.* E **9** ἐξοκείλαντας] *scripsi*, ἐξωκείλαντας R, ἐξωκιλαντος P **12** βασιλείαις] βασιλεια P **14** κορινθειους P, κορινθίοις R **16** τοὺς] *supplevi*, *om.* P R **17** προκρίναν$^τ$ R

## *II$^2$2483 / PML$^b$ cap. Σ 5, 11

II$^1$1985 / K cap. Σ 8, 7

Τοῦ ἁγίου Ἰγνατίου, ἐκ τῆς πρὸς Ἐφεσίους·

Οἱ σαρκικοὶ τὰ πνευματικὰ πράττειν οὐ δύνανται, οὐδὲ οἱ πνευματικοὶ τὰ σαρκικά, ὥσπερ οὐδὲ ἡ πίστις τὰ τῆς ἀπιστίας, οὐδὲ ἡ ἀπιστία τὰ τῆς πίστεως.

## *II$^2$2484 / PML$^b$ cap. Σ 5, 12

Τοῦ θεολόγου Γρηγορίου, ἐκ τοῦ εἰς Ἀθανάσιον·

Ὀλίγοι οἱ τοῦ θεοῦ, εἰ καὶ πάντες πλάσματα.

## *II$^2$2485 / PML$^b$ cap. Σ 5, 13

Τοῦ ἁγίου Βασιλείου, εἰς τὸ βάπτισμα·

Οἶδα τινὰς ἐν νεότητι πρὸς τὰ τῆς σαρκὸς πάθη κατολισθήσαντας, καὶ μέχρι πολιᾶς αὐτῆς διὰ συνήθειαν τοῦ κακοῦ, ταῖς ἁμαρτίαις παραμείναντας.

**3 – 5** ***II$^2$2483** Ignatius Antiochenus, *Epistula ad Ephesios*, 8, 2 (ed. Fischer, p. 148, 6–8); Holl, n° 42 **8** ***II$^2$2484** Gregorius Nazianzenus, *In laudem Athanasii (Orat. 21)*, 3, 2 (ed. Mossay/Lafontaine, p. 114) **11 – 13** ***II$^2$2485** Basilius Caesariensis, re vera *Homilia in Psalmum I*, 6 (PG 29, 224, 51 – 225, 3)

**2 – 5** ***II$^2$2483** P cap. Σ 5, 11 (308vA[17]18–25); E cap. 207, 10; R cap. Σ 4, 6; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **7 – 8** ***II$^2$2484** P cap. Σ 5, 12 (308vA[26–27]28–29); E cap. 207, 11; R cap. Σ 4, 7; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **10 – 13** ***II$^2$2485** P cap. Σ 5, 13 (308vA[30]31–308vB2); E cap. 207, 12; R cap. Σ 4, 8; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

***II$^2$2483** (a) P ϊγνατιου *cod.* (b) Τοῦ ἁγίου Ἰγνατίου τοῦ θεοφόρου R (c) *s. a.* E ***II$^2$2484** (a) P γρηγοριου *cod.* αθανασιον *cod.* (b) Τοῦ Θεολόγου R (c) Θεολόγου E ***II$^2$2485** (a) P (b) Βασιλείου E (c) Τοῦ αὐτοῦ R

**4 – 5** ὥσπερ – πίστεως] *om.* E **11 – 13** κατολισθήσαντας – παραμείναντας] *om.* E **12** συνήθειαν] συνηθεί P$^{a. c.}$, συνηθείας P$^{p. c. ut videtur}$

$II^{1}$ / K cap. Σ 3

# Τίτλος ϛʹ Περὶ συνηθείας πονηρᾶς, καὶ ὅτι δυνατὸν ἀποσυνηθίσαι τῶν κακῶν, ὅτι μὴ ἐκ φύσεως, ἀλλ’ ἐκ προαιρέσεως τὸ κακόν.

## *$II^{2}$2486 / $PML^{b}$ cap. Σ 6, 1

Δαυῒδ ἐν ψαλμῷ λγʹ·

Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν.

## *$II^{2}$2487 / $PML^{b}$ cap. Σ 6, 2

Ἱερεμίου·

Ἀλλάξει Αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς· ὑμεῖς δυνήσεσθε εὖ ποιεῖν, μεμαθηκότες κακά.

## *$II^{2}$2488 / $PML^{b}$ cap. Σ 6, 3

Τοῦ αὐτοῦ·

Ἀλήθειαν οὐ μὴ λαλήσουσιν· μεμάθηκεν γὰρ ἡ γλῶσσα αὐτῶν λαλεῖν ψευδῆ.

---

**6** ***$II^{2}$2486*** Ps. 33, $15^{1}$ **9 – 10** ***$II^{2}$2487*** Ier. 13, 23 (Wahl, *Prophetenzitate*, p. 524–525) **13 – 14** ***$II^{2}$2488*** Ier. 9, 5 (Wahl, *Prophetenzitate*, p. 524–525)

---

**1 – 3 Titlos** (308vB3–7) $M^{pin}$ $L^{b\,pin}$ $E^{txt}$ $A^{III\,pin}$ R; *deest in* $M^{txt\,(lac.)}$ $L^{b\,txt}$ $E^{pin\,(lac.)}$ $T^{(lac.)}$ $H^{III}$$A^{III\,txt}$ **5 – 6** ***$II^{2}$2486*** P cap. Σ 6, 1 (308vB[7]8–9); E cap. 208, 1; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$ R **8 – 10** ***$II^{2}$2487*** P cap. Σ 6, 2 (308vB[10]11–17); E cap. 208, 2; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$ R **12 – 14** ***$II^{2}$2488*** P cap. Σ 6, 3 (308vB[17]18–21); E cap. 208, 3; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$ R

---

**1** Τίτλος] *om.* P$M^{pin}$ $L^{b\,pin}$ $E^{txt}$ $A^{III\,pin}$ $R^{pin}$ ϛʹ] *propt. mg. resect. non liquet in* $A^{III\,pin}$ *(δʹ secund. ser.)*, εʹ R, σηʹ $E^{txt}$ **1 – 3** καὶ – κακόν] *om.* $M^{pin}$ **1** δυνατὸν] *s. l. praem.* οὐ E **1 – 2** ἀποσυνηθίσαι] ἀποσυνηθεῖσαι $P^{pin}$, ἀποσυνηθῆσαι $P^{txt}$, ἀποσυνεθίσαι $L^{b\,pin}$, ἀπὸ συνηθείας $A^{III\,pin}$

---

***$II^{2}$2486*** (a) P (b) Δαυῒδ E ***$II^{2}$2487*** ϊηρεμίου P ***$II^{2}$2488*** (a) P (b) *s. a.* E

---

**9** Ἀλλάξει] εἰ ἀλλάξεται E αιθιοψ P **10** ἡμεῖς $P^{a.c.}$, ἢ ὑμεῖς $P^{p.c.}$, καὶ ὑμεῖς E δυνησεσθαι P εὖ ποιῆσαι E **13** λαλήσωσι E **14** ψεύδη E

## *II$^{2}$2489 / PML$^{b}$ cap. Σ 6, 4

**II$^{1}$1911 / K cap. Σ 3, 2**

Σιράχ·

Ἄνθρωπος συνηθιζόμενος λόγοις ὀνειδισμοῦ
τὸν αἰῶνα οὐ μὴ παιδευθῇ.

## *II$^{2}$2490 / PML$^{b}$ cap. Σ 6, 5

Τοῦ αὐτοῦ·

Ἔθος ἀνθρώπῳ ψεῦδος ἀτιμία.

## *II$^{2}$2491 / PML$^{b}$ cap. Σ 6, 6

Τοῦ αὐτοῦ·

Ἀπαιδευσίαν ἀσυρῆ μὴ συνηθίσῃς τὸ στόμα σου·
ἔστιν γὰρ ἐν αὐτῇ λόγος ἁμαρτίας.
Ἀναμέσον μεγιστάνων ἐνεδρεύει<ς>;
Μήποτε ἐπιλάθῃ ἐνώπιον αὐτῶν,
καὶ τῷ ἐθισμῷ σου μωρανθῇς,
καὶ θελήσεις εἰ μὴ ἐγενήθης,
καὶ τὴν ἡμέραν τοῦ τοκετοῦ σου καταράσῃ.

---

**3 – 4** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 55.4./62.3. (ed. Ihm, p. 868)

---

**3 – 4** ***II$^{2}$2489** Sir. 23, 15$^{1–2}$ (Wahl, *Sirach-Text*, p. 110) **7** ***II$^{2}$2490** Sir. 20, 26$^{1}$ (Wahl, *Sirach-Text*, p. 102) **10 – 11** ***II$^{2}$2491** Ἀπαιδευσίαν – ἁμαρτίας] Sir. 23, 13$^{1–2}$ (Wahl, *Sirach-Text*, p. 110) **12 – 16** Ἀναμέσον – καταράσῃ] Ibid. 23, 14$^{2–6}$ (Wahl, p. 110)

---

**2 – 4** ***II$^{2}$2489** P cap. Σ 6, 4 (308vB[mg]22–25); E cap. 208, 4; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **6 – 7** ***II$^{2}$2490** P cap. Σ 6, 5 (308vB[26]27–28); *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R **9 – 16** ***II$^{2}$2491** P cap. Σ 6, 6 (308vB[28]29–309rA6); *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ E H$^{III}$ R

---

**4** τὸν] *praem.* εἰς E **7** ψευδος *(sic)* P **12** ἐνεδρεύεις] *scripsi (LXX)*, ἐνδρεύει P

## *II²2492 / PMLᵇ cap. Σ 6, 7

Τοῦ αὐτοῦ·

Ψυχὴ θερμὴ ὡς πῦρ καιόμενον·
οὐ σβεσθήσεται, ἕως ἂν καταποθῇ·
οὕτως ἄνθρωπος ἐν σώματι σαρκὸς αὐτοῦ.

**II¹1910 / K cap. Σ 3, 1**

## *II²2493 / PMLᵇ cap. Σ 6, 8

Σοφίας Σολομῶντος·

Χρόνῳ κρατυνθὲν τὸ ἀσεβὲς ἔθος ὡς νόμος ἐφυλάχθη.

## *II²2494 / PMLᵇ cap. Σ 6, 9

Ἐκ τῆς Πέτρου β′ ἐπιστολῆς·

Ὧι τις ἥττηται, τούτῳ καὶ δεδούλωται.

---

**8** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 55.3./62.2. (ed. Ihm, p. 868)

---

**3 – 5** ***II²2492** Sir. 23, 16³⁻⁵ (Wahl, *Sirach-Text*, p. 110) **8** ***II²2493** Sap. 14, 16¹ **11** ***II²2494** II Petr. 2, 19

---

**2 – 5** ***II²2492** P cap. Σ 6, 7 (309rA[7]8–13); *deest in* M⁽ˡᵃᶜ·⁾ Lᵇ T⁽ˡᵃᶜ·⁾ E Hᴵᴵᴵ R **7 – 8** ***II²2493** P cap. Σ 6, 8 (309rA[13]14–16); E cap. 208, 5; R cap. Σ 5, 1; *deest in* M⁽ˡᵃᶜ·⁾ Lᵇ T⁽ˡᵃᶜ·⁾ Hᴵᴵᴵ **10 – 11** ***II²2494** P cap. Σ 6, 9 (309rA[17]18–19); *deest in* M⁽ˡᵃᶜ·⁾ Lᵇ E T⁽ˡᵃᶜ·⁾ Hᴵᴵᴵ R

---

***II²2493** Σοφίας] σοφία P, *om.* E ***II²2494** πετρου P

---

**8** διεφυλάχθη E **11** τούτο P

## *II$^2$2495 / PML$^b$ cap. Σ 6, 10

Ἐκ τῆς πρὸς Ῥωμαίους·

Οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον ἢ ὑπακοῆς εἰς δικαιοσύνην; Χάρις δὲ τῷ θεῷ ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς, ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. Ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκός. Ὥς γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν.

## *II$^2$2496 / PML$^b$ cap. Σ 6, 11

Ἐκ τῆς πρὸς Ἐφεσίους·

Τοῦτο λέγω καὶ μαρτύρομαι ἐν κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ θεοῦ διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, οἵτινες ἀπηλγηκότες παρέδωκαν ἑαυτοὺς τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ.

---

**3 – 5** Οὐκ – δικαιοσύνην] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 5.2./2. (ed. Ihm, p. 92–93)

---

**3 – 11** ***II$^2$2495** Rom. 6, 16–19 **14 – 19** ***II$^2$2496** Eph. 4, 17–19

---

**2 – 11** ***II$^2$2495** P cap. Σ 6, 10 (309rA[20]21–309rB15); E cap. 208, 6; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **13 – 19** ***II$^2$2496** P cap. Σ 6, 11 (309rB[16]17–36); R cap. Σ 5, 2; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2495** (a) P (b) Ἀποστόλου E ***II$^2$2496** εφεσίους P

---

**5 – 11** Χάρις – ἁγιασμόν] *om.* E **6** *post* διδαχῆς *in* P *fenestra minio circumlita auroque illita sed non inscripta* **15** περιπατεῖ] *om.* P **16** τῇ – ἀπηλλοτριωμένοι] τη διανοία ὄντες· ἀπηλλοτριωμένοι R **17** πορρωσιν P

## *II$^2$2497 / PML$^b$ cap. Σ 6, 12

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ θεός·

Ἡ πρὸς τὰ φαῦλα συνήθεια μεγάλα κακὰ ταῖς ψυχαῖς ἐντίθησιν, κἂν τὴν παραυτίκα αἴσθησιν τὸ βλαβερὸν διαφεύγῃ.

**II$^1$1915 / K cap. Σ 3, 6**

## *II$^2$2498 / PML$^b$ cap. Σ 6, 13

Εἰς τὸν α′ ψαλμόν·

Ἡ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια ὁδὸς τίς ἐστιν ἐπὶ τὰ πράγματα. Διὸ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, μὴ διὰ τῆς τῶν λόγων ἡδονῆς παραδεξάμενοί τι λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι.

**II$^1$1914 / K cap. Σ 3, 5**

## *II$^2$2499 / PML$^b$ cap. Σ 6, 14

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ·

Τὸ φιλοπόνως προσδιατρίβειν ταῖς ἁμαρτίαις ἕξιν τινὰ δυσκίνητον ταῖς ψυχαῖς ἐμποιεῖ. Παλαιωθὲν δὲ πάθος ψυχῆς καὶ κακοῦ

---

**15 – 1095, 2** Παλαιωθὲν – μεθισταμένου] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 55.6./62.5. (ed. Ihm, p. 869)

---

**4 – 5** ***II$^2$2497** BASILIUS CAESARIENSIS, *Quod deus non est auctor malorum*, 9 (PG 31, 348, 38–40) **8 – 11** ***II$^2$2498** BASILIUS CAESARIENSIS, re vera *Ad iuvenes (De legendis gentilium libris)*, IV, 3, 1–6 (ed. Naldini, p. 90) **14 – 1095, 2** ***II$^2$2499** BASILIUS CAESARIENSIS, re vera *Homilia in Psalmum I*, 6 (PG 29, 224, 40–45)

---

**2 – 5** ***II$^2$2497** P cap. Σ 6, 12 ([309rBmg]309vA1–7); R cap. Σ 5, 3; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **7 – 11** ***II$^2$2498** P cap. Σ 6, 13 (309vA[7]8–22); E cap. 208, 7; R cap. Σ 5, 4; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **13 – 1095, 2** ***II$^2$2499** P cap. Σ 6, 14 (309vA[23] 24–309vB2); E cap. 208, 8; R cap. Σ 5, 5; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2497** βασιλειου P ὅτι] *om.* P τῶν – θεός] *om.* R ***II$^2$2498** (a) P R (b) Βασιλείου E ***II$^2$2499** (a) P (b) Τοῦ αὐτοῦ R (c) *s. a.* E

---

**5** κἂν – διαφεύγῃ] *om.* R **9** διὰ] μετὰ R **10** παραδεξαμενοι τί P **15** δὲ] γὰρ E

μελέτη χρόνῳ βεβαιωθεῖσα, δυσκίνητός ἐστιν καὶ ἀνίατος παντελῶς, εἰς φύσιν ὡς τὰ πολλὰ τοῦ ἔθους μεθισταμένου.

## *II$^{2}$2500 / PML$^{b}$ cap. Σ 6, 15

II$^{1}$1913 / K cap. Σ 3, 4

Ἐκ τοῦ εἰς τὴν μάρτυρα Ἰουλίτταν·

Ἔθους χωρισμὸς καὶ τοῖς ἀλόγοις ἐστὶν δυσφορώτατος· καί ποτε εἶδον ἐγὼ βοῦν ἐπὶ φάτνης δακρύοντα, τοῦ συννόμου αὐτῷ καὶ ὁμοζύγου τελευτήσαντος. Καὶ τὰ λοιπὰ τῶν ἀλόγων σφόδρα τῆς συνηθείας ἐστὶν ἰδεῖν ἀντεχόμενα.

## *II$^{2}$2501 / PML$^{b}$ cap. Σ 6, 16

Τοῦ ἁγίου Κλήμεντος Ῥώμης·

Διαφορὰ τυγχάνει ἀληθείας καὶ συνηθείας. Ἡ μὲν γὰρ ἀλήθεια γνησίως ζητουμένη εὑρίσκεται· τὸ δὲ ἔθος, ὁποῖον ἂν παραληφθῇ, εἴτε ἀληθὲς εἴτε ψευδές, ἀκρίτως ὑφ' ἑαυτοῦ κρατύνεται, καὶ οὔτε ἀληθεύοντι αὐτῷ ἥδεται ὁ παραλαβών, οὔτε ψευδεῖ ἄχθεται. Οὐ γὰρ κρίσει, ἀλλὰ προλήψει ὁ τοιοῦτος πεπίστευκεν, γνώμῃ τῶν πρὸ αὐτοῦ ἐπ' ἀδήλῳ τὴν ἰδίαν ἐπιδεδωκὼς ἐλπίδα. Καὶ οὐκ ἔστιν ῥαδίως ἀποδύσασθαι τὴν πατρῴαν περιβολήν, κἂν πάνυ αὐτῷ δεικνύηται μωρὰ καὶ καταγέλαστος οὖσα. Ἐν αἷς γὰρ ἕκαστος ἐκ παίδων ἐθίζεται, ταύταις ἐμμένειν ἥδεται· καὶ οὕτως τῆς συνη-

---

**5 – 8** ***II$^{2}$2500** Basilius Caesariensis, *Homilia in martyrem Iulittam*, 4 (PG 31, 248, 20–24) **11 – 18** ***II$^{2}$2501** Διαφορὰ – οὖσα] Ps.-Clemens Romanus, *Homilia* δ 11,1–2 (ed. Rehm†/Strecker, p. 87, 15–22); Holl, n° 8, 1–9 **18 – 1096, 4** Ἐν – μυθολογίας] Ibid., 18,4 – 19,1 (p. 90, 3–8); Holl, n° 8, 9–15

---

**4 – 8** ***II$^{2}$2500** P cap. Σ 6, 15 (309vB[3]4–17); E cap. 208, 9; R cap. Σ 5, 6; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **10 – 1096, 4** ***II$^{2}$2501** P cap. Σ 6, 16 (309vB[18]19–310rA28); R cap. Σ 5, 7; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2500** (a) P R Ἐκ τοῦ] *om.* P ἰουλίτταν P (b) *s. a.* E

---

**1** καὶ] *praem.* ἢ E **6** ἴδον P **6 – 8** βοῦν – ἀντεχόμενα] *om.* E **6** αὐτῷ] *in* R *non liquet untrum* αὐτῷ *vel* αὐτοῦ *legendum sit* **14** ἀληθεύοντι] ἀληθεῖ ὄντι *ed.* ψευδη P **15** ὁ τοιοῦτος] ὅτι οὗτος P **18** δεικνύηται] *sic* R$^{p. c.}$, δεικνύεται R$^{a. c.}$, δικνυεται P μωρὰ] μωρια P **19** παίδων] νεότητος R

θείας οὐ πολὺ ἔλαττον πρὸς τὴν φύσιν δυναμένης, δυσμετάβλητος γίνεται πρὸς τὰ μὴ ἀπ᾽ ἀρχῆς αὐτοῖς καταβληθέντα τῇ ψυχῇ καλά. Διὸ χρὴ τοὺς νέους μὴ τοῖς διαφθείρουσιν ἀσκεῖσθαι μαθήμασιν καὶ τῆς ἀλλήλων ὑπακούειν μυθολογίας.

## *II$^2$2502 / PML$^b$ cap. Σ 6, 17

Τοῦ αὐτοῦ·

Ὥς ἐπίπαν εἰπεῖν, ὁποῖα ἐξ ἀρχῆς ἐκμελετήσει τίς, τούτοις εἰς ἀεὶ συγκαταγηράσκειν προάγεται. Κἂν γὰρ πρὸς βελτίω ποτὲ μετάθηται ἐκ μοχθηρίας, οὐκέτι ὁμοίως τὸ σῶμα τῇ γνώμῃ παρέπεται, ἀλλ᾽ ὥσπερ τὰ παραλελυμένα τῶν σωμάτων, ἐφ᾽ ἕτερα μὲν αὐτός, ἐφ᾽ ἕτερα δὲ ἐκεῖνα φέρεται καὶ τὴν συνήθη χορηγίαν ἐπιζητεῖ, τῇ χρονίῳ μελέτῃ πρὸς τοὺς τῆς φύσεως μεταβαλλόμενα νόμους. Καὶ ταὐτὸ ἡγοῦμαι τὸ τοῦ σωτῆρος εἶναι λόγιον, τὸ *Οὐ πάντες χωροῦσιν*. Πολλοὶ γὰρ συντρόφοις ἡδοναῖς συναυξηθέντες καὶ τραπέζαις Συβαριτικαῖς ἐπὶ μήκιστον τῆς ἡλικίας ὡμιληκότες, πρὸς τοὺς ἄγαν πόνους ῥαδίως ἀπαγορεύουσιν, μὴ βουλόμενοι χρόνιον κακὸὸν χρονίως ἰάσασθαι.

---

**13 – 14** Matth. 19, 11 **15** τραπέζαις Συβαριτικαῖς] cf. *Zenobii Epitoma*, V, 87 (ed. Leutsch/Schneidewin, *CParG*, I, p. 156, 20); Apostol. Byzant., *Proverbia collecta*, XV. 83a (ed. Leutsch, II, p. 649, 15)

---

**7 – 17** ***II$^2$2502** Clemens Romanus, locus non repertus; Holl, n° 29

---

**6 – 17** ***II$^2$2502** P cap. Σ 6, 17 (310rA28–310rB30); E cap. 208, 10–11; R cap. Σ 5, 8; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2502** (a) R (b) Κλήμεντος / *s. a.* E *(cf. infra, app. crit. text.)* (c) *s. a.* P

---

**1 – 2** δυσμετάβλητοι γίνονται *ed.* **4** ἀλλήλων] *an legendum* Ἑλλήνων *(cf. ed.)?* **7** Ὥς – εἰπεῖν] *om.* E ἐπίπαν] επὶπαν P, ἀληθὲς R εἰσαεὶ R **8** συνκαταγηρασκειν P **8 – 14** Κἂν – χωροῦσιν] *om.* E, *ubi caesura post* προάγεται **12** μεταβαλλομένα *(sic acc.)* R, μεταβαλλομενον P **13** ταὐτὸ] τοῦτο R **14** γὰρ] *om.* E **15** Συβαριτικαῖς] *correxi*, συβαροτεραις P, σοβαρωτέραις E R ἐπιμήκιστον R, ἐπι μικῆστον P

## *II²2503 / PML^b cap. Σ 6, 18

Τοῦ αὐτοῦ·

Ἐπὶ τοιοῦτο τί προῆγεν τὸν λόγον ὁ θεῖος Παῦλος, συνοίκους ἡδονὰς προσωποποιούμενος τὰς ἐκ συνηθείας μοχθηρᾶς καὶ τρυφῆς ἀμέτρου πόλεμον ἡδονῶν αἰσχρῶν ἐπεγειρούσας τῷ λογισμῷ ἄσπονδον, φάσκων· *Βλέπω ἕτερον νόμον ἐν τοῖς μέλεσίν μου, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με.* Ἡ γὰρ τυραννικοὺς νόμους κατὰ τῆς ψυχῆς ἀντεπιτάξασα παροινία τὴν εἰσηγορίαν αὐτῆς καταδουλοῦται. Ὃ γὰρ μισεῖ τίς διὰ τὴν ἐπιοῦσαν τῆς ἡλικίας σύνεσιν, τοῦτο διὰ τὴν πολυχρόνιον τῶν κακῶν συνήθειαν πράττειν συναναγκάζεται, δεινὴν σύνοικον τὴν ἁμαρτίαν παρειληφώς. Ὅθεν τοῖς μὲν πρὸς τὴν ἀθρόαν μεταβολὴν ξενοπαθοῦσιν ἐπίπονος ἡ φιλοσοφία καταφαίνεται, τοῖς δὲ εἰς ἕξιν λοιπὸν διὰ τῆς μελέτης προελθοῦσιν λύεται μὲν ὁ πόνος, ὁμαλὴ δέ τις καὶ τεταγμένη καὶ οὐκ ἄμοιρος ἡδονῆς διάθεσις ἐπεισέρχεται, αὐτὴ ἑαυτὴν τῷ οἰκείῳ πόθῳ διασώζουσα.

---

**6 – 7** Rom. 7, 23 **9 – 12** Ὃ – παρειληφώς] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 55.-./62.12. (ed. Ihm, p. 871)

---

**3 – 16** ***II²2503*** CLEMENS ROMANUS, locus non repertus; Holl, n° 30

---

**2 – 16** ***II²2503*** P cap. Σ 6, 18 (310rB30–310vB9); E cap. 208, 12; R cap. Σ 5, 9; *deest in* M^(lac.) L^b T^(lac.) H^III

---

***II²2503*** (a) R (b) *s. a.* E (c) *s. d.* P

---

**3 – 9** Ἐπὶ – καταδουλοῦται] *om.* E **3** τοιοῦτόν τι R θεῖος] θεσπέσιος R **4** προσωποιούμενος P μοχθηρᾶς] πονηρᾶς R **5** πολεμων P ἡδονῶν αἰσχρῶν] ἡδονων. αἰσχρον P **7 – 9** Ἡ – καταδουλοῦται] *om.* R **9** καταδουλοῦται] *correx. Holl*, καταδουλονται P **12** παρειληφώς] παλιν ἠληφῶς P **12 – 16** Ὅθεν – διασώζουσα] *om.* E **16** διασώζουσα] διαζουσα R^a. c.

## *II²2504 / PMLᵇ cap. Σ 6, 19

Τοῦ αὐτοῦ·

Μηδαμῶς τὴν φύσιν αἰτιώμεθα· πάντα γὰρ βίον ἡδὺν ἢ ἀηδῆ ἡ συνήθεια ποιεῖ.

## *II²2505 / PMLᵇ cap. Σ 6, 20

Φίλωνος, ἐκ τοῦ εἰς τὴν Δεκάλογον·

Ἐγχρονίζον ἔθος φύσεως κραταιότερόν ἐστιν, καὶ τὰ μικρά, μὴ κωλυόμενα, φύεται καὶ ἐπιδίδοται, πρὸς μέγεθος συναύξοντα.

## *II²2506 / PMLᵇ cap. Σ 6, 21

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ ἀρετῶν·

Δυσεκρίζωτος ἡ πλάνη, ὅταν διαδράμῃ πολλῷ χρόνῳ.

---

**3 – 4** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 55.12./62.13. (p. 871–872) **7 – 8** exstat ibid., 55.11./62.11. (ed. Ihm, p. 871)

---

**3 – 4** ***II²2504** CLEMENS ROMANUS, locus non repertus; Holl, n° 31 **7 – 8** ***II²2505** PHILO IUDAEUS, *De Decalogo*, 137 (ed. Cohn, p. 299, 17–18) **11** ***II²2506** PHILO IUDAEUS, *De virtutibus*, locus non repertus; Harris 105.5; Royse 175.17

---

**2 – 4** ***II²2504** P cap. Σ 6, 19 (310vB[9]10–14); E cap. 208, 13; R cap. Σ 5, 10; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **6 – 8** ***II²2505** P cap. Σ 6, 20 (310vB[15]16–23); E cap. 208, 14; R cap. Σ 5, 11; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **10 – 11** ***II²2506** P cap. Σ 6, 21 (310vB[23]24–26); E cap. 208, 15; R cap. Σ 5, 12; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II²2504** (a) P (b) Τῆς αὐτῆς R (c) *s. a.* E ***II²2505** ἐκ – Δεκάλογον] *om.* E R ***II²2506** (a) P R ἐκ – ἀρετῶν] *om.* R (b) *s. a.* E

---

**3** ἡδὺν] ἡδυ P **7** ἐνχρονιζον P κραταιότερον ἐστὶν P τὰ] *om.* E **8** φύεται] *praem.* ἁμαρτήματα E συναυξάνοντα E

**Τίτλος ζʹ Περὶ σκανδάλων, ὅτι χρὴ πάσῃ δυνάμει φυλάττεσθαι μὴ δοῦναι πρόσκομμα σκανδάλου μηδενί· τῷ γὰρ αἰτίῳ τὸ κακὸν ἐπιγράφεται.** II$^{1}$ / K cap. Σ 7

## *II$^{2}$2507 / PML$^{b}$ cap. Σ 7, 1

Βασιλειῶν γʹ·

Εἶπεν Ἱεροβοὰμ ἐν τῇ καρδίᾳ αὐτοῦ· Ἰδοὺ νῦν ὑποστρέψει ἡ βασιλεία εἰς τὸν οἶκον Δαυΐδ· ἐὰν ἀναβῇ ὁ λαὸς οὗτος ἀναφέρειν θυσίας ἐν οἴκῳ κυρίου εἰς Ἱερουσαλήμ, καὶ ἐπιστραφήσεται καρδία τοῦ λαοῦ πρὸς τὸν κύριον καὶ κύριον αὐτοῦ πρὸς Ῥοβοάμ, βασιλέα Ἰούδα, καὶ ἀποκτείνουσίν με. Καὶ ἐπορεύθη, καὶ ἐποίησεν δύο δαμάλεις χρυσᾶς, καὶ εἶπεν πρὸς τὸν λαόν· Ἱκανούσθω ὑμῖν ἀναβαίνειν εἰς Ἱεροσόλυμα· ἰδοὺ οἱ θεοί σου, Ἰσραήλ, οἱ ἀναγαγόντες σε ἐκ γῆς Αἰγύπτου. Καὶ ἔθετο τὴν μίαν ἐν Βεθήλ, καὶ τὴν μίαν ἔδωκεν ἐν Δάν. Καὶ ἐγένετο ὁ λόγος οὗτος εἰς ἁμαρτίαν.

## *II$^{2}$2508 / PML$^{b}$ cap. Σ 7, 2

Ὠσηὲ προφήτου·

Μέτοχος εἰδώλων Ἐφραὶμ ἔθηκεν ἑαυτῷ σκάνδαλα· ᾑρέτισεν Χαναναίους, δι᾽ οὓς πορνεύοντες ἐξεπόρνευσαν, ἠγάπησαν ἀτιμίαν

---

**6 – 14** ***II$^{2}$2507** III Reg. 12, 26–30 (Wahl, *3 Könige-Text*, p. 107) **17 – 1100, 1** ***II$^{2}$2508** Μέτοχος – αὐτῆς] Os. 4, 17–18 (Wahl, *Prophetenzitate*, p. 155)

---

**1 – 3 Titlos** P (310vB27–31) $M^{pin}$ $L^{b\ pin}$ $E^{txt}$ $A^{III\ pin}$ R; *deest in* $M^{txt\ (lac.)}$ $L^{b\ txt}$ $E^{pin\ (lac.)}$ $T^{(lac.)}$ $H^{III}A^{III\ txt}$ **5 – 14** ***II$^{2}$2507** P cap. Σ 7, 1 (310vB[31]32–311rA25); *deest in* $M^{(lac.)}$ $L^{b}$ E $T^{(lac.)}$ $H^{III}$ R **16 – 1100, 2** ***II$^{2}$2508** P cap. Σ 7, 2 (311rA[25]26–311rA1); R cap. Σ 6, 1; *deest in* $M^{(lac.)}$ $L^{b}$ E $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* P$M^{pin}$ $L^{b\ pin}$ $E^{txt}$ $A^{III\ pin}$ $R^{pin}$ ζʹ] *propt. mg. resect. non liquet in* $A^{III}$ *(εʹ secund. ser.)*, ςʹ R, cθʹ $E^{txt}$ **1 – 3** ὅτι – ἐπιγράφεται] *om.* $M^{pin}$

---

***II$^{2}$2508** ωσηε P προφήτου] *om.* R

---

**6** ϊεροβοὰμ P ὑποστρέψει] ἐπιστρέψει *LXX* **9** ροβοαμ P **10** ϊοῦδα P ἀποκτενοῦσίν με *LXX* **12** ϊεροσολυμα P **13** βεθηλ P, Βαιθὴλ *LXX* **14** δαν P **17** ἐφραιμ P ᾑρέτησεν P, ᾑρέθισε R **18** ἠγάπησεν R

ἐκ φρυάγματος αὐτῆς. Ἐν συμβόλοις ἐπηρώτων, καὶ ἐν ῥάβδοις αὐτοῦ ἀπήγγελλον.

## *II$^2$2509 / PML$^b$ cap. Σ 7, 3

Τοῦ Σιράχ·

Καὶ ἀνεπαύσατο Σολομὼν μετὰ τῶν πατέρων αὐτοῦ,
καὶ κατέλειπεν μετ᾽ αὐτὸν ἐκ τοῦ σπέρματος <αὐ>τοῦ,
λαοῦ ἀφροσύνην καὶ ἐλασσούμενον συνέσει,
Ῥοβοάμ, ὃς ἀπέστησεν λαὸν ἐκ βουλῆς αὐτοῦ.
Καὶ Ἱεροβοάμ, υἱὸς Ναβάτ, ὃς ἐξήμαρτεν τὸν Ἰσραήλ,
καὶ ἔδωκεν τῷ Ἐφραὶμ ὁδὸν ἁμαρτίας,
καὶ ἐπληθύνθησαν αἱ ἁμαρτίαι αὐτῶν σφόδρα,
ἀποστῆσαι αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν·
καὶ πᾶσαν πονηρίαν ἐξεζήτησαν,
ἕως ἐκδίκησις ἦλθεν ἐπ᾽ αὐτούς.

**II$^1$1971 / K cap. Σ 7, 3**

## *II$^2$2510 / PML$^b$ cap. Σ 7, 4

Τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου·

Προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ, λέγοντες· Ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; Ὁ δὲ εἶπεν· Ναί. Καὶ ἐλθόντι αὐτῷ εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς λέγων· Τί σοι δοκεῖ, Σίμων; Οἱ βασιλεῖς ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆν-

---

**1 – 2** Ἐν – ἀπήγγελλον] Os. 4, 12 (Wahl, *Prophetenzitate*, p. 154) **5 – 14 *II$^2$2509** Sir. 47, 23$^1$–25$^2$ (Wahl, *Sirach-Text*, p. 167) **17 – 1101, 6 *II$^2$2510** Matth. 17, 24–27

---

**4 – 14 *II$^2$2509** P cap. Σ 7, 3 (311rB[2]3–25); *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ R **16 – 1101, 6 *II$^2$2510** P cap. Σ 7, 4 (311rB[25]26–311vA20); E cap. 209, 1; R cap. Σ 6, 2; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2510** (a) P (b) Ἐκ τοῦ κατὰ Ματθαῖον R (c) Εὐαγγελίου E

---

**1** αὐτοῦ R ἐπηρωτουν P **5** Σολομὼν] *scripsi*, σολομῶν P **6** αὐτοῦ] *scripsi (LXX)*, τοῦ P R **8** ροβοαμ P **9** ϊεροβοὰμ P ναβατ P **10** Ἐφραὶμ] *scripsi (LXX)*, ἐφρεμ P **17** δίδραγμα E R Πέτρῳ] ἰησοῦ E **18** δίδραγμα E R **20** σιμων P **20 – 1101, 6** τέλη – σοῦ] *om.* E

σον; Ἀπὸ τῶν υἱῶν αὐτῶν ἢ ἀπὸ τῶν ἀλλοτρίων; Εἰπόντος δὲ Πέτρου· Ἀπὸ τῶν ἀλλοτρίων, ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί. Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθῦν ἆρον, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· τοῦτον λαβών, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

## *II[2]2511 / PMLᵇ cap. Σ 7, 5

II[1]1972 / K cap. Σ 7, 4

Ἐκ τοῦ αὐτοῦ Εὐαγγελίου·

Εἶπεν ὁ κύριος· Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων· ἀνάγκη γὰρ ἐλθεῖν τὰ σκάνδαλα, οὐαὶ δὲ τῷ ἀνθρώπῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται.

## *II[2]2512 / PMLᵇ cap. Σ 7, 6

Ἐκ τοῦ αὐτοῦ·

Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μυλικὸς λίθος περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης.

---

**9** ***II[2]2511** Εἶπεν – κύριος] cf. Matth. 18, 1 et 3 **9 – 11** Οὐαὶ – ἔρχεται] Ibid. 18, 7 **14 – 16** ***II[2]2512** Matth. 18, 6

---

**8 – 11** ***II[2]2511** P cap. Σ 7, 5 (311vA[21]22–28); E cap. 209, 2; R cap. Σ 6, 3; *deest in* M(lac.) Lᵇ T(lac.) H[III] **13 – 16** ***II[2]2512** P cap. Σ 7, 6 (311vA[29]29–311vB3); E cap. 209, 3; R cap. Σ 6, 4; *deest in* M(lac.) Lᵇ T(lac.) H[III]

---

***II[2]2511** (a) P (b) Τοῦ αὐτοῦ R (c) *s. a.* E ***II[2]2512** (a) R (b) Καὶ αὖθις *(non auro illita, ut lemmata solent)* P *(ubi sine acc. et spir.)* E

---

**2** ἀρα γε P **4** τὴν] *om.* P αναβαινοντα P ἴχθυων P **5** τοῦτον] ἐκεῖνον P **9** Εἶπεν – κύριος] *om.* R **15** λίθος μυλικὸς P E περὶ] ἐπι P **16** ἐν] ἐπι P

II$^{1}$1976 / K cap. Σ 7, 8

## *II$^{2}$2513 / PML$^{b}$ cap. Σ 7, 7

Ἐκ τῆς πρὸς Κορινθίους α′·

Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησιν καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ.

II$^{1}$1975 / K cap. Σ 7, 7

## *II$^{2}$2514 / PML$^{b}$ cap. Σ 7, 8

Ἐκ τῆς πρὸς Ῥωμαίους·

Τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ εἰς σκάνδαλον. Διὸ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

II$^{1}$1977 / K cap. Σ 7, 9

## *II$^{2}$2515 / PML$^{b}$ cap. Σ 7, 9

Τοῦ θεολόγου Γρηγορίου·

Οὐκ ἀνέχομαι πλήττεσθαι τινὰς ἐν ἐμοὶ τῶν πάντα τηρούντων ἐπιμελῶς τὰ ἡμέτερα, εὖ τὲ καὶ ὡς ἑτέρως ἔχοντα, ἐπειδὴ <τί> τὸ καθ’ ἡμᾶς εἶναι Χριστιανοῖς εὐδόκησεν ὁ θεός, καὶ τοὺς ἤδη πεπληγότας ἰάσομαι. Καλὸν γὰρ μήτε ἁμαρτάνοντα, μήτε ὑπονο-

---

**3 – 4** ***II$^{2}$2513** I Cor. 10, 32 **7 – 8** ***II$^{2}$2514** Τοῦτο – σκάνδαλον] Rom. 14, 13 **8 – 9** Διὸ – σκανδαλίσω] I Cor. 8, 13 **12 – 1103, 4** ***II$^{2}$2515** GREGORIUS NAZIANZENUS, *Apologetica (Orat. 2)*, 2, 2–11 (ed. Bernardi, p. 88)

---

**2 – 4** ***II$^{2}$2513** P cap. Σ 7, 7 (311vB[3]4–8); E cap. 209, 4; R cap. Σ 6, 5; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **6 – 9** ***II$^{2}$2514** P cap. Σ 7, 8 (311vB[9]10–20); E cap. 209, 5; R cap. Σ 6, 6; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **11 – 1103, 4** ***II$^{2}$2515** P cap. Σ 7, 9 (311vB[21]22–312rA11); E cap. 209, 6; R cap. Σ 6, 7; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2513** (a) P R α′] *om.* P (b) Ἀποστόλου E ***II$^{2}$2514** (a) P R Ἐκ τῆς] *om.* R (b) *s. a.* E ***II$^{2}$2515** (a) P R Γρηγορίου] *om.* R (b) Θεολόγου E

---

**3** γινεσθαι P καὶ Ἰουδαίοις] ἰουδαίοις E$^{a. c.}$, ϊουδαιοις τε P ἑλλησιν P **7** εἰς] ἢ E **8** σκανδαλΐζη R **12** πλήττεσθαί τινας E **13** καὶ] *praem.* ἢ R ὡς ἑτέρως] ἐσοτέρως P **13 – 1103, 4** ἐπειδὴ – τιμωρία] *om.* E **13** τί] *supplevi (cf. ed.)*, *om.* P R **14** Χριστιανοῖς] *scripsi (ed.)*, χριστιανοὺς (-ους P) P R ηυδοκισεν P

ούμενον, ἕως ἂν οἷόν τε ᾖ καὶ ὁ λόγος αἱρῇ, *τιθέναι πρόσκομμα* τοῖς πολλοῖς εἰς *σκάνδαλον*, εἴπερ καὶ τοῖς *ἕνα τῶν μικρῶν σκανδαλίσασιν* ἴσμεν ὅπως ἀπαραίτητος καὶ βαρυτάτη παρὰ τοῦ ἀψευδοῦς ἡ τιμωρία.

---

**1 – 2** τιθέναι – σκάνδαλον] Rom. 14, 13 **2 – 3** ἕνα – σκανδαλίσασιν] Matth. 18, 6

---

**1** ἕως] ὡς R οἷον τε ἦ P, οἱός τε ᾖ R αἱρεῖ R, ἐρεῖ P **2** εἱς] *sic* P R τοῖς[2]] τοὺς R **2 – 3** σκανδαλίζοντας R

## Τίτλος η′ Περὶ συνεδρίου, ὅτι ἐπικίνδυνον καὶ ἐπιβλαβὲς τὸ συνελθεῖν καὶ ἐπικοινωνῆσαι συνεδρίῳ πονηρῶν καὶ ἐπιβούλων.

### *II$^{2}$2516 / PML$^{b}$ cap. Σ 8, 1

Τῆς Ἐξόδου·

Οὐ προστεθήσῃ μετὰ πλήθους ἐκκλῖναι μετὰ πλειόνων τοῦ ἐκκλῖναι κρίσιν.

### *II$^{2}$2517 / PML$^{b}$ cap. Σ 8, 2

Τοῦ Δευτερονομίου·

Οὐκ ἔσῃ μετὰ πλειόνων ἐπὶ κακίᾳ.

### *II$^{2}$2518 / PML$^{b}$ cap. Σ 8, 3

Ψαλμοῦ α′·

Μακάριος ἀνήρ, ὅς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν,
καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη,
καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν.

---

**5 – 6** ***II$^{2}$2516** Ex. 23, 2 **9** ***II$^{2}$2517** Deut., re vera Ex. 23, 2 **12 – 14** ***II$^{2}$2518** Ps. 1, 1$^{1–3}$

---

**1 – 2** **Titlos** P (312rA12–15) M$^{pin}$ L$^{b\ pin}$ E$^{txt}$ R; *deest in* M$^{txt\ (lac.)}$ L$^{b\ txt}$ E$^{pin\ (lac.)}$ T$^{(lac.)}$ H$^{III}$A$^{III}$ **4 – 6** ***II$^{2}$2516** P cap. Σ 8, 1 (312rA[15]16–20); E cap. 210, 1; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **8 – 9** ***II$^{2}$2517** P cap. Σ 8, 2 (312rA[20]21–22); E cap. 210, 2; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **11 – 14** ***II$^{2}$2518** P cap. Σ 8, 3 (312rA[22]23–29); E cap. 210, 3; R cap. Σ 7, 1; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* PM$^{pin}$ L$^{b\ pin}$ E$^{txt}$ R$^{pin}$ η′] ζ′ R, ϲι′ E$^{txt}$ **1 – 2** ὅτι – ἐπιβούλων] *om.* M$^{pin}$ **2** κοινωνῆσαι R$^{txt}$ συνεδρίων E$^{txt}$

---

***II$^{2}$2517** Τοῦ] *om.* E ***II$^{2}$2518** (a) P R ψαλμὸς R (b) Δαυΐδ E

---

**5** ἐκκλῖναι[1] – τοῦ] *om.* E ἐκκλῖναι[1]] ἐκκλιναι P **5 – 6** ἐκκλῖναι[2]] ἐκκλίναι P **9** ἔσῃ] ἔσηι E, ἔστη P **14** καὶ – ἐκάθισεν] *om.* E εκαθησεν P

## *II$^{2}$2519 / PML$^{b}$ cap. Σ 8, 4

Ψαλμοῦ κε′·

Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος,
καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω·
ἐμίσησα ἐκκλησίαν πονηρευομένων,
καὶ μετὰ ἀσεβούντων οὐ μὴ καθίσω.

## *II$^{2}$2520 / PML$^{b}$ cap. Σ 8, 5

Παροιμιῶν·

Ὑπερτίθενται λογισμοὺς οἱ μὴ τιμῶντες συνέδρια,
ἐν δὲ καρδίᾳ βουλευομένων μένει βουλή.
Οὐ μὴ ὑπακούσῃ ὁ κακὸς αὐτῇ,
οὐδὲ μὴ εἴπῃ καίριόν τι καὶ καλὸν τῷ κοινῷ.

## *II$^{2}$2521 / PML$^{b}$ cap. Σ 8, 6

Ἐκ τῶν αὐτῶν·

Ἔκβαλε λοιμὸν ἐκ συνεδρίου, καὶ συνεξελεύσεται αὐτῷ νεῖκος·
ὅταν γὰρ καθίσῃ ἐν συνεδρίῳ, πάντας ἀτιμάζει.

---

**3 – 6** ***II$^{2}$2519** Ps. 25, 4$^{1}$–5$^{2}$ **9 – 12** ***II$^{2}$2520** Prov. 15, 22$^{1}$–23$^{2}$ (Wahl, *Proverbien-Text*, p. 77) **15 – 16** ***II$^{2}$2521** Prov. 22, 10$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 105)

---

**2 – 6** ***II$^{2}$2519** P cap. Σ 8, 4 (312rA[30]31–312rB3); E cap. 210, 4; R cap. Σ 7, 2; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **8 – 12** ***II$^{2}$2520** P cap. Σ 8, 5 (312rB[4]5–13); E cap. 210, 5; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **14 – 16** ***II$^{2}$2521** P cap. Σ 8, 6 (312rB[14]15–20); E cap. 210, 6; R cap. Σ 7, 3; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2519** (a) P R ψαλμὸς R (b) *s. a.* E ***II$^{2}$2521** (a) P Ἐκ] *non liquet in cod.* (b) Παροιμιῶν R (c) *s. a.* E

---

**3** εκαθησα P **4 – 6** καὶ – ἀσεβούντων] ἕως R **6** καθήσω R, κα$^{θ}$ E **12** τὸ κοινον P **15** αὐτῷ] *om.* R **16** καθήσει P

## *II$^{2}$2522 / PML$^{b}$ cap. Σ 8, 7

Τοῦ Σιράχ·

Ἐν συναγωγῇ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ.

## *II$^{2}$2523 / PML$^{b}$ cap. Σ 8, 8

Τοῦ αὐτοῦ·

Στίππυον συνηγμένον συναγωγὴ ἁμαρτωλῶν.

---

**3** ***II$^{2}$2522** Sir. 16, 6$^{1}$ (Wahl, *Sirach-Text*, p. 88–89) **6** ***II$^{2}$2523** Sir. 21, 9$^{1}$ (Wahl, *Sirach-Text*, p. 103)

---

**2–3** ***II$^{2}$2522** P cap. Σ 8, 7 (312rB[21]21–23); E cap. 210, 7; R cap. Σ 8, 4; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **5–6** ***II$^{2}$2523** P cap. Σ 8, 8 (312rB[24]24–26); E cap. 210, 8; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^{2}$2522** (a) P E Τοῦ] *om.* E (b) Τῶν αὐτῶν R ***II$^{2}$2523** (a) P (b) *s. a.* E

---

**6** Στίππυον] *sic acc.* P E

## Τίτλος θʹ Περὶ συνειδήσεως ἀγαθῆς καὶ εὐσυνειδήτων.

**III / par. 53 A**

### *II$^{2}$2524 / PML$^{b}$ cap. Σ 9, 1

Βασιλειῶν αʹ·

Εἶπεν Σαμουὴλ πρὸς τὸν λαόν· Μάρτυς κύριος ἐν ὑμῖν, καὶ μάρτυς χριστὸς αὐτοῦ σήμερον, ἐν ταύτῃ τῇ ἡμέρᾳ, ὅτι οὐχ᾽ εὑρήκατε ἐν χειρί μου οὐθέν. Καὶ εἶπαν· Μάρτυς.

### *II$^{2}$2525 / PML$^{b}$ cap. Σ 9, 2

Ἀπὸ τοῦ βʹ βιβλίου τοῦ Ἔσδρα·

Ἐγὼ καὶ οἱ ἀδελφοί μου ἄρτον τῆς ἡγεμονίας μου οὐκ ἐφάγομεν. Μνήσθητί μου, ὁ θεός, πάντα εἰς ἀγαθόν, ὅσα ἐποίησα τῷ λαῷ τούτῳ.

---

**4 – 6** ***II$^{2}$2524** I Reg. 12, 5 (Wahl, *1 Samuel-Text*, p. 53) **9** ***II$^{2}$2525** Ἐγὼ – ἐφάγομεν] II Esdr. 15, 14 **10 – 11** Μνήσθητί – τούτῳ] Ibid. 15, 19

---

**1 Titlos** P (312rB27–28) M$^{pin}$ L$^{b\ pin}$ E$^{txt}$ A$^{III\ pin}$ R; *deest in* M$^{txt\ (lac.)}$ L$^{b\ txt}$ T$^{(lac.)}$ E$^{pin\ (lac.)}$ H$^{III}$A$^{III\ txt}$ **3 – 6** ***II$^{2}$2524** P cap. Σ 9, 1 (312rB[28]29–36); E cap. 211, 1; R cap. Σ 8, 1; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **8 – 11** ***II$^{2}$2525** P cap. Σ 9, 2 (312vA[1]2–8); E cap. 211, 2; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R

---

**1** Τίτλος] *om.* PM$^{pin}$ L$^{b\ pin}$ E$^{txt}$ A$^{III\ pin}$ R$^{pin}$ θʹ] ηʹ R, ϲιαʹ E$^{txt}$, *propt. mg. resect. non liquet in* A$^{III\ pin}$ *(ιδʹ secund. ser.)* καὶ εὐσυνειδήτων] *om.* M$^{pin}$ εὐσϋνειδότων A$^{III\ pin}$

---

***II$^{2}$2524** αʹ] *om.* E ***II$^{2}$2525** Ἀπὸ – τοῦ] *om.* E

---

**4** σαμουηλ P ἡμῖν R **5** χριστοῦ R ηὑρήκατε R **6** εἶπον R

## *II$^{2}$2526 / PML$^{b}$ cap. Σ 9, 3

Παροιμιῶν·

Ἐξουσίαν δίδωσιν λόγοις ἀρχὴ δικαιοσύνης.

## *II$^{2}$2527 / PML$^{b}$ cap. Σ 9, 4

Σχόλιον·

Σημειωτέον πόθεν προσγίνεται ἡ ἐν ἔργῳ καὶ λόγῳ παρρησία πρὸς ἅπαντας.

## *II$^{2}$2528 / PML$^{b}$ cap. Σ 9, 5

Σιράχ·

Μακάριος ἀνήρ, ὃς οὐκ ὠλίσθησεν ἐν τῷ στόματι αὐτοῦ,
καὶ ὃς οὐ κατενύγη ἐν λύπῃ ἁμαρτιῶν·
μακάριος, οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ,
καὶ ὃς οὐκ ἔπεσεν ἀπὸ τῆς ἐλπίδος αὐτοῦ.

---

**3** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 31.3./3. (ed. Ihm, p. 639)

---

**3** ***II$^{2}$2526** Prov. 17, 14$^{1}$ (Wahl, *Proverbien-Text*, p. 87) **6 – 7** ***II$^{2}$2527** *Scholion in Prov. 17, 14$^{1}$* **10 – 13** ***II$^{2}$2528** Sir. 14, 1$^{1}$–2$^{2}$ (Wahl, *Sirach-Text*, p. 84–85)

---

**2 – 3** ***II$^{2}$2526** P cap. Σ 9, 3 (312vA[9]10–11); E cap. 211, 3; R cap. Σ 8, 2; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **5 – 7** ***II$^{2}$2527** P cap. Σ 9, 4 (312vA[mg]12–15); E cap. 211, 4; R cap. Σ 8, 3; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **9 – 13** ***II$^{2}$2528** P cap. Σ 9, 5 (312vA[16]16–25); E cap. 211, 5; R cap. Σ 8, 4; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

**10** ωλισθησεται P **11** καὶ – ἁμαρτιῶν] *om.* R

## *II$^{2}$2529 / PML$^{b}$ cap. Σ 9, 6

Πρὸς Κορινθίους ἐπιστολῆς β′·

Ἡ καύχησις ἡμῶν αὕτη ἐστὶν τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁγιότητι καὶ εἰλικρινείᾳ τοῦ θεοῦ, οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ’ ἐν χάριτι θεοῦ ἀνεστράφημεν <ἐν> τῷ κόσμῳ.

## *II$^{2}$2530 / PML$^{b}$ cap. Σ 9, 7

Πράξεων·

Εἶπεν ὁ Παῦλος πρὸς τοὺς Ἐφεσίους· Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐθενὸς ἐπεθύμησα· αὐτοὶ οἴδατε ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσιν μετ’ ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. Πάντα ὑπέδειξα ὑμῖν.

## *II$^{2}$2531 / PML$^{b}$ cap. Σ 9, 8

Τῶν αὐτῶν·

Εἶπεν ὁ Παῦλος· Ἄνδρες ἀδελφοί, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ θεῷ ἄχρι τῆς ἡμέρας ταύτης.

---

**3 – 5** ***II$^{2}$2529** II Cor. 1, 12 **8** ***II$^{2}$2530** Εἶπεν – Ἐφεσίους] cf. Act. 20, 17–18 **8 – 11** Ἀργυρίου – ὑμῖν] Ibid. 20, 33 **14 – 15** ***II$^{2}$2531** Act. 23, 1

---

**2 – 5** ***II$^{2}$2529** P cap. Σ 9, 6 (312vA[26]27–36); R cap. Σ 8, 5; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ **7 – 11** ***II$^{2}$2530** P cap. Σ 9, 7 ([312vA36]312vB1–11); E cap. 211, 6; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **13 – 15** ***II$^{2}$2531** P cap. Σ 9, 8 (312vB[12]13–17); E cap. 211, 7; R cap. Σ 8, 6; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2529** ἐπιστολῆς] *om.* P β] β$^{τρ}$ R ***II$^{2}$2531** (a) P (b) Πράξεων R (c) *s. a.* E

---

**3** ἡμῶν] ὑμῶν P **4** ἁγιότητι] ἁπλότητι *(sic spir.)* R οὐκ] *praem.* καὶ R **5** ἐν$^{2}$] *supplevi (NT), om.* P R **8** αἱφεσίους P **9** οὐδενὸς E **10 – 11** Πάντα – ὑμῖν] *om.* E **14** ὁ] *om.* P E ἀγαθῇ] *om.* P

## *Π²2532 / PML^b cap. Σ 9, 9

Τῶν αὐτῶν·

Εἶπεν ὁ Παῦλος· Ἐν τούτῳ καὶ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν θεὸν καὶ τοὺς ἀνθρώπους διαπαντός.

## *Π²2533 / PML^b cap. Σ 9, 10

Ἐκ τῆς Ἰωάννου ἐπιστολῆς·

Ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν θεόν, καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ᾽ αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν.

## *Π²2534 / PML^b cap. Σ 9, 11

Βασιλείου·

Ἑκάστῳ ἡμῶν ἐν τῷ κρυπτῷ ζυγός τίς ἐστιν παρὰ τοῦ κτίσαντος ἡμᾶς ἐγκατασκευασθείς, ἐφ᾽ οὗ τὴν φύσιν τῶν πραγμάτων δυνατὸν ἐστὶν διακρίνεσθαι. Διατοῦτο φησίν· Ἔθηκα *πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν*, δύο ἀντικειμένας ἀλλήλαις φύσεις. Ἀντιστάθμησον αὐτὰς ἐπὶ τοῦ οἰκείου κριτηρίου· ζυγοστάτησον ἀκριβῶς τί σοι λυσιτελέστερον, τὴν

---

**15 – 16** Deut. 30, 15

---

**3 *Π²2532** Εἶπεν – Παῦλος] Act. 24, 10 **3 – 4** Ἐν – διαπαντός] Ibid. 24, 16 **7 – 10 *Π²2533** I Ioh. 3, 21–22 **13 – 1111, 3 *Π²2534** Ἑκάστῳ – τρυφῆς] Basilius Caesariensis, *Homilia in Psalmum LXI*, 4 (PG 29, 477, 50 – 480, 11)

---

**2 – 4 *Π²2532** P cap. Σ 9, 9 (312vB[18]19–24); E cap. 211, 8; R cap. Σ 8, 7; *deest in* M^(lac.) L^b T^(lac.) H^III **6 – 10 *Π²2533** P cap. Σ 9, 10 (312vB[25]26–36); E cap. 211, 9; *deest in* M^(lac.) L^b T^(lac.) H^III R **12 – 1111, 9 *Π²2534** P cap. Σ 9, 11 (313rA1–313rB16); E cap. 211, 10; *deest in* M^(lac.) L^b T^(lac.) H^III R

---

***Π²2532** (a) P R (b) *s. a.* E ***Π²2533** Ἐκ τῆς] *om.* E ***Π²2534** (a) E (b) *s. a.* P

---

**4** ἔχων R τοὺς] *praem.* πρὸς R **8** λαμβάνωμεν P **13 – 1111, 3** Ἑκάστῳ – τρυφῆς] *om.* E **13** ζυγος τίς ἐστὶν P **17** αντισταθμισον P

πρόσκαιρον ἑλέσθαι ἡδονήν, καὶ δι᾽ αὐτῆς τὸν αἰώνιον λαβεῖν θάνατον, ἢ τὴν ἐν τῇ ἀσκήσει τῆς ἀρετῆς ἑλόμενον κακοπάθειαν, ταύτῃ προξένῳ χρήσασθαι τῆς αἰωνίου τρυφῆς. Οὐκ ἔστιν σοι εἰπεῖν *ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως*· Οὐκ ᾔδειν τὸ ἀγαθόν. Προφέρεταί σοι τὰ οἰκεῖα ζυγά, ἱκανὴν παρεχόμενα διάκρισιν ἀγαθοῦ καὶ κακοῦ. Τὰ μὲν γὰρ τοῦ σώματος βάρη ταῖς ἐπὶ τῆς τρυτάνης ῥοπαῖς δοκιμάζομεν, τὰ δὲ τοῦ βίου ἐκλεκτὰ τῷ αὐτεξουσίῳ τῆς ψυχῆς δοκιμάζομεν· ὃν καὶ *ζυγὸν* ὠνόμασεν ὁ προφήτης διὰ τὸ ἴσην λαμβάνειν τὴν ῥοπὴν ἐφ᾽ ἑκάτερα.

## *II$^2$2535 / PMLᵇ cap. Σ 9, 12

Τοῦ θεολόγου Γρηγορίου, πρὸς τοὺς λέγοντας αὐτὸν ἐπιθυμεῖν τῆς καθέδρας Κωνσταντινουπόλεως·

Τοῦτο μόνον οὐκ ἔστι διαφυγεῖν, τὸ ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς δικαστήριον, πρὸς ὃ βλέποντας μόνον, τὴν εὐθεῖαν ὁδὸν ἰτέον.

---

**4** I Ioh. 4, 17 **8** ζυγὸν] Ps. 61, 10$^2$

---

**4 – 9** Οὐκ – ἑκάτερα] Ibid. (PG 29, 480, 25–30) **13 – 14** *II$^2$2535 Gregorius Nazianzenus, *De seipso et ad eos qui ipsum cathedram Constantinopolitanam affectare dicebant (Orat. 36)*, 8, 14–16 (ed. Moreschini, p. 260)

---

**11 – 14** *II$^2$2535 P cap. Σ 9, 12 (313rB[17–19]20–26); E cap. 211, 11; R cap. Σ 8, 8; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$

---

*II$^2$2535 (a) P (b) Τοῦ Θεολόγου, ἐκ μεγάλου *(sic)* ἀπολογητικοῦ R (c) Θεολόγου E

---

**4 – 5** Προφέρεταί σοι] προφέρεται γάρ σοι E **8** δοκιμάζομεν] *om.* E **13** φυγεῖν P E **13 – 14** διακριτήριον E, διάκριτηριον P **14** ἰτέον] ἰϊστέον P

### *II$^{2}$2536 / PML$^{b}$ cap. Σ 9, 13

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ βαπτίσματος·

Κἂν τοὺς ἄλλους παραλογιζώμεθα, ἡμᾶς γε αὐτοὺς οὐ δυνησόμεθα, ὡς τό γε καθ' ἑαυτοῦ παίζειν, λίαν ἐπισφαλὲς καὶ ἀνόητον.

### *II$^{2}$2537 / PML$^{b}$ cap. Σ 9, 14

Φίλωνος, ἐκ τοῦ εἰς τὴν θείαν Δεκάλογον·

Ὁ ἑκάστῃ ψυχῇ συμβεβηκὼς ἔλεγχος, οὐδὲν εἰωθὼς παραδέχεσθαι τῶν ὑπαιτίων, μισοπονήρῳ καὶ φιλαρέτῳ χρώμενος ἀεὶ τῇ φύσει, καὶ κατήγορος ὁμοῦ καὶ δικαστὴς αὐτὸς ὤν, διακινηθεὶς ὡς μὲν κατήγορος αἰτιᾶται καὶ κατηγορεῖ ἡμῶν, καὶ δυσωπεῖ, πάλιν δὲ ὡς δικαστὴς διδάσκει, νουθετεῖ μεταβάλλεσθαι· κἂν μὲν ἰσχύσῃ πεῖσαι, γεγηθὼς καταλλάττεται, μὴ δυνηθεὶς δὲ ἀσπονδεὶ πολεμεῖ, μήτε μεθ' ἡμέραν, μήτε νύκτωρ ἀφιστάμενος, κεντῶν καὶ τιτρώσκων ἀνίατα, μέχρι τὴν ἀθλίαν ζωὴν ἀπο<ρ>ρήξει.

---

**3 – 4** ***II$^{2}$2536** Gregorius Nazianzenus, *In S. baptisma (Orat. 40)*, 18, 28–30 (ed. Moreschini, p. 236) **7 – 14** ***II$^{2}$2537** Philo Iudaeus, *De Decalogo*, 87 (ed. Cohn, p. 288, 12 – 289, 4)

---

**2 – 4** ***II$^{2}$2536** P cap. Σ 9, 13 (313rB[27]28–34); E cap. 211, 12; R cap. Σ 8, 9; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **6 – 14** ***II$^{2}$2537** P cap. Σ 9, 14 (313rB[35]36–313vA28); *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^{2}$2536** (a) P R περὶ – βαπτίσματος] εἰς τὸ βάπτισμα R (b) *s. a.* E

---

**3** Κἂν] ἐὰν R, κἀν E **4** ἑαυτῶν E **7** συμβεβηκὼς] συμπεφυκὼς *ed.* **9** αὐτὸς] ὁ αὐτὸς *ed.* **14** ἀνίατα] *scripsi (ed.)*, ἀνιᾶται P ἀπορρήξει] *scripsi (ed.)*, ἀποριξει P

## Τίτλος ι′ Περὶ συνειδήσεως πονηρᾶς καὶ αὐτοκατακρίτου.

III / par. 53 B

### *$II^{2}$2538 / $PML^{b}$ cap. Σ 10, 1

Γενέσεως·

Εἶπεν Λάμεχ ταῖς ἑαυτοῦ γυναιξὶν Ἀδδὰ καὶ Σελλά· Ἀκούσατέ μου τῆς φωνῆς, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους, ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοί, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί, ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά.

### *$II^{2}$2539 / $PML^{b}$ cap. Σ 10, 2

Τῆς αὐτῆς·

Εἶπεν Ἰούδας· Δεδικαίωται Θάμαρ ἢ ἐγώ.

### *$II^{2}$2540 / $PML^{b}$ cap. Σ 10, 3

Ἐκ τῆς αὐτῆς·

Εἶπεν Ἰούδας τοῖς ἀδελφοῖς αὐτοῦ· Οὐκ εἶπον ὑμῖν· Μὴ ἀδικήση-

---

**4 – 8** ***$II^{2}$2538** Gen. 4, 23–24 **11** ***$II^{2}$2539** Gen. 38, 26 **14 – 1114, 2** ***$II^{2}$2540** Gen. 42, 22

---

**1** **Titlos** P (313vA29–30) $M^{pin}$ $L^{b\,pin}$ $E^{txt}$ $A^{III\,pin}$ R; *deest in* $M^{txt\,(lac.)}$ $L^{b\,txt}$ $E^{pin\,(lac.)}$ $T^{(lac.)}$ $H^{III}A^{III\,txt}$ **3 – 8** ***$II^{2}$2538** P cap. Σ 10, 1 (313vA[30]31–313vB8); *deest in* $M^{(lac.)}$ $L^{b}$ E $T^{(lac.)}$ $H^{III}$ R **10 – 11** ***$II^{2}$2539** P cap. Σ 10, 2 (313vB9–11); E cap. 212, 1; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$ R **13 – 1114, 2** ***$II^{2}$2540** P cap. Σ 10, 3 (313vB[11]12–20); E cap. 212, 2; R cap. Σ 9, 1; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* P$M^{pin}$ $L^{b\,pin}$ $E^{txt}$ $A^{III\,pin}$ $R^{pin}$ ι′] θ′ R, ιβ′ $E^{txt}$, *propt. mg. resect. non liquet in* $A^{III\,pin}$ *(*ιε′ *secund. ser.)* καὶ αὐτοκατακρίτου] *om.* $M^{pin}$

---

***$II^{2}$2539** (a) P (b) Γενέσεως E ***$II^{2}$2540** (a) P (b) Γενέσεως R (c) *s. a.* E

---

**4** λαμεχ P Ἀδδὰ] *scripsi (cf.* *$II^{2}$729 / T cap. Γ 7, 1 *cum app. crit., et* *$II^{2}$2653 / $PML^{b}$ cap. T 5, 1*)*, ἀδδα P Σελλά] *scripsi (cf.* *$II^{2}$729 / T cap. Γ 7, 1 *cum app. crit.)*, σελλα P **5** Λάμεχ] *sic acc.* P **7** καϊν P Λάμεχ] *sic acc.* P **11** ϊουδας P **14** Ἰούδας] ϊουδας P, Ρουβην *LXX* **14 – 1114, 1** αδικήσεται P

τε τὸ παιδάριον, καὶ οὐκ ἠκούσατέ μου; Καὶ ἰδοὺ τὸ αἷμα αὐτοῦ ἐκδικεῖται ἐκ χειρὸς ὑμῶν.

## *II$^{2}$2541 / PML$^{b}$ cap. Σ 10, 4

Βασιλειῶν α′·

Εἶπεν Σαοὺλ πρὸς Δαυΐδ· Ἡμάρτηκα· ἐπίστρεφε, τέκνον Δαυΐδ, ὅτι οὐ κακοποιήσω σε, ἐπεὶ ἀνθ᾽ ὧν ἔντιμος ψυχή μου ἐν ὀφθαλμοῖς σου· ἐν τῇ σήμερον μεματαίωμαι καὶ ἠγνόηκα σφόδρα.

## *II$^{2}$2542 / PML$^{b}$ cap. Σ 10, 5

Σοφίας Σολομῶντος·

Δειλὸν εἶδος πονηρία· μαρτυρεῖ καταδικαζομένη,
ἀεὶ δὲ προσείληφε τὰ χαλεπά, συνεχομένη τῇ συνειδήσει·
οὐδὲν γάρ ἐστιν φόβος, εἰ μὴ προδοσία τῶν ἀπὸ λογισμοῦ
[βοηθημάτων.

## *II$^{2}$2543 / PML$^{b}$ cap. Σ 10, 6

Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου·

Τότε ἰδὼν Ἰούδας ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψεν τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσιν, λέγων· Ἥμαρτον παραδοὺς

---

**5 – 7** ***II$^{2}$2541** I Reg. 26, 21 (Wahl, *1 Samuel-Text*, p. 77) **10 – 13** ***II$^{2}$2542** Sap. 17, 11$^{1}$–12 **16 – 1115, 2** ***II$^{2}$2543** Matth. 27, 3–5

---

**4 – 7** ***II$^{2}$2541** P cap. Σ 10, 4 (313vB[20]21–30); E cap. 212, 3; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **9 – 13** ***II$^{2}$2542** P cap. Σ 10, 5 (313vB[31]32–314rA3); R cap. Σ 9, 2; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ **15 – 1115, 2** ***II$^{2}$2543** P cap. Σ 10, 6 (314rA[4]5–18); E cap. 212, 4; R cap. Σ 9, 3; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2541** α′] γ′ E ***II$^{2}$2542** σοφία P ***II$^{2}$2543** Ἐκ – Ματθαῖον] *om.* E Εὐαγγελίου] *om.* R

---

**2** ἡμῶν P E **6 – 7** ἐπεὶ – σφόδρα] *om.* E **10** Δειλὸν] δεινὸν R πονηρία· μαρτυρεῖ] *nulla interpunctio in* P πονηρίας R **11** ἀεὶ – συνεχομένη] *om.* P **16** ϊουδας P

αἷμα ἀθῷον. Οἱ δὲ πρὸς αὐτόν· Τί πρὸς ἡμᾶς; Σὺ ὄψῃ. Καὶ ῥίψας τὰ ἀργύρια εἰς τὸν ναόν, ἀνεχώρησεν, καὶ ἀπελθὼν ἀπήγξατο.

## *II$^2$2544 / PML$^b$ cap. Σ 10, 7

Ἐκ τῶν Πράξεων·

Ἀνὴρ τίς ὀνόματι Ἀνανίας ἐπώλησεν κτῆμα, καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς γυναικός, καὶ ἐνέγκας μέρος τί παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκεν. Εἶπεν δὲ ὁ Πέτρος· Ἀνανία, διατί ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; Οὐχὶ μένον σοι ἔμενεν, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν; Τί ὅτι ἔθου τὸ ῥῆμα τοῦτο ἐν τῇ καρδίᾳ σου; Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ θεῷ. Ἀκούων δὲ ὁ Ἀνανίας τοὺς λόγους τούτους, πεσὼν ἐξέψυξεν, καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. Ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτόν, καὶ ἐξενέγκαντες ἔθαψαν. Ἐγένετο δὲ ὡσεὶ ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν. Ἀπεκρίθη αὐτῇ ὁ Πέτρος· Εἰπέ μοι εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε. Ἡ δὲ εἶπεν· Τοσούτου. Εἶπεν δὲ Πέτρος· Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ πνεῦμα κυρίου; Ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ καὶ ἐξοίσουσίν σε. Ἔπεσεν δὲ παραχρῆμα πρὸς τοὺς πόδας αὐτοῦ καὶ ἐξέψυξεν· εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκράν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς.

---

**5 – 22** ***II$^2$2544** Act. 5, 1–10

---

**4 – 22** ***II$^2$2544** P cap. Σ 10, 7 (314rA[18]19–314vA7); E cap. 212, 5; R cap. Σ 9, 4; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2544** Ἐκ τῶν] *om.* P E

---

**1** ὄψει E R **5** ἀνανιας P κτήματα P **6** γυναικός] *add.* αὐτοῦ R **7 – 22** Εἶπεν – αὐτῆς] καὶ τὰ ἑξῆς R, *om.* E **12** ανανίας P

## *II$^2$2545 / PML$^b$ cap. Σ 10, 8

Φίλωνος, ἐκ τοῦ περὶ τῶν μετονομαζομένων·

Τίς ἐξαμαρτὼν οὐχ' ὥσπερ ἐν δικαστηρίῳ ὑπὸ τοῦ συνειδότος κατηγορεῖται, κἂν μηδεὶς ἕτερος ἐξελέγχῃ;

**3 – 4** Τίς – ἐξελέγχῃ] cf. Phil. Iud., *De virtutibus*, 206 (ed. Cohn, p. 330, 5–7)

**3 – 4** ***II$^2$2545** PHILO IUDAEUS, *De mutatione nominum*, locus non repertus; Mangey 666.6; Harris 102.1; Royse 177.88

**2 – 4** ***II$^2$2545** P cap. Σ 10, 8 (314vA[8]9–13); E cap. 212, 6; R cap. Σ 9, 5; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

***II$^2$2545** ἐκ – μετονομαζομένων] *om.* E

**4** ἐλέγχῃ P E

## Τίτλος ια′ Περὶ τῶν τῇ οἰκείᾳ συνειδήσει ἀμαυρουμένων.

### *II$^{2}$2546 / PML$^{b}$ cap. Σ 11, 1

Ὠσηέ·

Ἐξεπόρνευσεν Ἐφραίμ, καὶ ἐμιάνθη Ἰσραήλ· καὶ οὐκ ἔδωκαν τὰ διαβούλια αὐτῶν, τοῦ ἐπιστρέψαι πρὸς τὸν θεὸν αὐτῶν.

### *II$^{2}$2547 / PML$^{b}$ cap. Σ 11, 2

Τοῦ αὐτοῦ·

Νυκτὶ ὡμοίωσα τὴν μητέρα σου. Ὡμοιώθη ὁ λαός μου ὡς οὐκ ἔχων ἐπίγνωσιν· ὅτι σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαι σὲ τοῦ ἱερατεύειν μοι· καὶ ἐπελάθου νόμον θεοῦ σου, καὶ ἐγὼ ἐπιλήσομαι τέκνων σου.

---

**4 – 5** ***II$^{2}$2546** Os. 5, 3 – 4 (Wahl, *Prophetenzitate*, p. 156 – 157) **8 – 11** ***II$^{2}$2547** Os. 4, 5 – 6 (Wahl, *Prophetenzitate*, p. 153)

---

**1** **Titlos** P (314vA14 – 15) M$^{pin}$ L$^{b\,pin}$ E$^{txt}$ A$^{III\,pin}$ R; *deest in* M$^{txt\,(lac.)}$ L$^{b\,txt}$ E$^{pin\,(lac.)}$ T$^{(lac.)}$ H$^{III}$A$^{III\,txt}$ **3 – 5** ***II$^{2}$2546** P cap. Σ 11, 1 (314vA[15]16 – 21); E cap. 213, 1; R cap. Σ 10, 1; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **7 – 11** ***II$^{2}$2547** P cap. Σ 11, 2 (314vA[21]22 – 31); *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R

---

**1** Τίτλος] *om.* PM$^{pin}$ L$^{b\,pin}$ E$^{txt}$ A$^{III\,pin}$ R$^{pin}$ ια′] *propt. mg. resect. non liquet in* A$^{III\,pin}$ *(ς′ secund. ser.)*, ι′ R, σιγ′ E$^{txt}$ τῇ – ἀμαυρουμένων] *usque ad* -ρουμένων *non liquet in* M$^{pin}$ *(*ἐξ οἰκείας συνειδήσεως *man. rec.)* τῇ] *om.* E$^{txt}$ A$^{III\,pin}$

---

***II$^{2}$2546** ωσηὲ P, ὠσϊέ E$^{p.\,c.}$

---

**4** ἐφραιμ P **8** ὁμοίωσα P ὁμοιώθη P **9** ὅτι – ἐπίγνωσιν] *in mg.* P

## *II$^2$2548 / PML$^b$ cap. Σ 11, 3

<***>

Κατεδυνάστευσεν Ἐφραὶμ τὸν ἀντίδικον αὐτοῦ, κατεπάτησεν τὸ κρίμα.

## *II$^2$2549 / PML$^b$ cap. Σ 11, 4

Ἡσαΐου προφήτου·

Νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ πρόσωπόν σου χαλκοῦν.

## *II$^2$2550 / PML$^b$ cap. Σ 11, 5

Ἱερεμίου προφήτου·

Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας.

## *II$^2$2551 / PML$^b$ cap. Σ 11, 6

<***>

Ἠσχύνθησαν καὶ τὴν ἀτιμίαν αὐτῶν οὐκ ἔγνωσαν, καὶ οὐδ᾽ ὡς κατησχυμμένοι ᾐσχύνθησαν.

---

**3 – 4** ***II$^2$2548** Os. 5, 11 (Wahl, *Prophetenzitate*, p. 158) **7 – 8** ***II$^2$2549** Is. 48, 4 (Wahl, *Prophetenzitate*, p. 415) **11** ***II$^2$2550** Ier. 3, 3 (Wahl, *Prophetenzitate*, p. 485) **14 – 15** ***II$^2$2551** Ier. 6, 15 (Wahl, *Prophetenzitate*, p. 156–157)

---

**2 – 4** ***II$^2$2548** P cap. Σ 11, 3 (314vA32–35); E cap. 213, 2; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **6 – 8** ***II$^2$2549** P cap. Σ 11, 4 ([314vA36]314vB1–4); E cap. 213, 3; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **10 – 11** ***II$^2$2550** P cap. Σ 11, 5 (314vB[4]5–7); E cap. 213, 4; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **13 – 15** ***II$^2$2551** P cap. Σ 11, 6 (314vB8–12); E cap. 213, 5; R cap. Σ 10, 2; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2548** *s. a.* P E ***II$^2$2549** ησαϊου P προφήτου] *om.* E ***II$^2$2550** ϊηρεμίου P προφήτου] *om.* E ***II$^2$2551** (a) *s. a.* P E (b) Ἱερεμίου R

---

**3** ἐφραιμ P **11** ἀπηνεσχύντησας E$^{a. c.}$ **15** κατησχύνμένοι P

## *II$^2$2552 / PML$^b$ cap. Σ 11, 7

Τοῦ αὐτοῦ·

Ἰδοὺ ἐγὼ κρίνομαι πρὸς σέ, ἐν τῷ λέγειν σε· Οὐχ᾽ ἥμαρτον, ὅτι κατεφρόνησας σφόδρα τοῦ δευτερῶσαι τὰς ὁδούς σου.

## *II$^2$2553 / PML$^b$ cap. Σ 11, 8

Παροιμιῶν·

Ἀσεβὴς ἐλθὼν εἰς βάθος κακῶν, καταφρονεῖ.

## *II$^2$2554 / PML$^b$ cap. Σ 11, 9

Πρὸς Ἐφεσίους·

Μαρτύρομαι ἐν κυρίῳ Ἰησοῦ, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ θεοῦ διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, οἵτινες ἀπηλγηκότες ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ.

---

**3 – 4** ***II$^2$2552** Ier. 2, 35–36 (Wahl, *Prophetenzitate*, p. 484–485) **7** ***II$^2$2553** Prov. 18, 3$^1$ (Wahl, *Proverbien-Text*, p. 90) **10 – 15** ***II$^2$2554** Eph. 4, 17–19

---

**2 – 4** ***II$^2$2552** P cap. Σ 11, 7 (314vB[13]13–19); E cap. 213, 6; R cap. Σ 10, 3; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **6 – 7** ***II$^2$2553** P cap. Σ 11, 8 (314vB[19]20–22); E cap. 213, 7; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **9 – 15** ***II$^2$2554** P cap. Σ 11, 9 (314vB[22]23–315rA6); *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^2$2552** (a) P R (b) *s. a.* E

---

**12** διανοίᾳ, ὄντες] *sic interpunctio in* P **13** πώρωσιν] *scripsi*, πόρρωσιν P

## *II²2555 / PMLᵇ cap. Σ 11, 10

Πρὸς Τιμόθεον α′·

Τὸ πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν.

---

**3 – 6** ***II²2555** I Tim. 4, 1–2

---

**2 – 6** ***II²2555** P cap. Σ 11, 10 (315rA[7]8–19); E cap. 213, 8; *deest in* M(lac.) Lᵇ T(lac.) HIII R

---

***II²2555** (a) P (b) Ἀποστόλου E

---

**3** ῥητῶς] ἀρρήτως P **5** κεκαυτηριαμένων E

## Τίτλος ιβʹ  Περὶ συμβούλου.

### *II$^{2}$2556 / PML$^{b}$ cap. Σ 12, 1

Σιράχ·

Πᾶς σύμβουλος ἐξαίρει βουλήν,
ἀλλ᾽ ἔστιν συμβουλεύων εἰς ἑαυτόν.

### *II$^{2}$2557 / PML$^{b}$ cap. Σ 12, 2

Τοῦ αὐτοῦ·

Ἀπὸ συμβούλου φύλαξον τὴν ψυχήν σου,
καὶ γνῶθι πρότερον τίς αὐτοῦ χρεία
– καὶ γὰρ αὐτὸς ἐν ἑαυτῷ βουλεύσεται –,
μήποτε βάλῃ ἐπὶ σὲ κλῆρον,
καὶ εἴπῃ σοι· Καλὴ ἡ ὁδός σου,
καὶ στήσεται ἐξεναντίας ἰδεῖν τὸ συμβησόμενόν σοι.

---

**4 – 5** ***II$^{2}$2556** Sir. 37, 7$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 146) **8 – 13** ***II$^{2}$2557** Sir. 37, 8$^{1}$–9$^{2}$ (Wahl, *Sirach-Text*, p. 146)

---

**1 Titlos** P (315rA20) M$^{pin}$ L$^{b\ pin}$ E$^{txt}$ A$^{III\ pin}$ R; *deest in* M$^{txt\ (lac.)}$ L$^{b\ txt}$ E$^{pin\ (lac.)}$ T$^{(lac.)}$ H$^{III}$A$^{III\ txt}$ **3 – 5** ***II$^{2}$2556** P cap. Σ 12, 1 (315rA[20]21–24); E cap. 214, 1; R cap. Σ 11, 1; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **7 – 13** ***II$^{2}$2557** P cap. Σ 12, 2 (315rA[24]25–315rB1); E cap. 214, 2; R cap. Σ 11, 2; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* PM$^{pin}$ L$^{b\ pin}$ A$^{III\ pin}$ R$^{pin}$ E$^{txt}$ ιβʹ] ιαʹ R, ϲιδʹ E$^{txt}$, *propt. mg. resect. non liquet in* A$^{III\ pin}$ *(ζʹ secund. ser.)* συμβούλων M$^{pin}$ L$^{b\ pin}$ R$^{txt}$

---

***II$^{2}$2557** (a) P (b) *s. a.* E (c) *s. d.* R

---

**9** πότερον R **10** βουλεύεται P E **11** βάλλη R E

## *II$^2$2558 / PML$^b$ cap. Σ 12, 3

Τοῦ αὐτοῦ·

Μὴ βουλεύου μετὰ τοῦ ὑποβλεπομένου σε,
καὶ ἀπὸ τῶν ζηλούντων σε ἔγκρυψον βουλήν.
Μετὰ γυναικὸς περὶ τῆς ἀντιζήλου αὐτῆς,
καὶ μετὰ δειλοῦ περὶ πολέμου,
μετὰ ἐμπόρου περὶ μεταβολῆς,
μετὰ ἀγοράζοντος περὶ πράσεως,
μετὰ βασκάνου περὶ εὐχαριστίας,
μετὰ ἀνελεήμονος περὶ χρηστοηθείας,
μετὰ ὀκνηροῦ περὶ παντὸς ἔργου,
καὶ μετὰ μισθίου ἐφεστίου περὶ συντελείας,
οἰκέτῃ ἀργῷ περὶ πολλῆς ἐργασίας,
μὴ ἔπεχε ἐπὶ τούτοις περὶ πάσης συμβουλίας,
ἀλλ᾽ ἢ μετὰ ἀνδρὸς εὐσεβοῦς ἐνδελέχιζε,
ὃν ἐὰν ἴδῃς συντηροῦντα ἐντολάς,
ὅς ἐν τῇ ψυχῇ αὐτοῦ κατὰ τὴν ψυχήν σου,
καὶ ἐὰν πταίσῃς, συναλγήσει σοι.
Καὶ βουλὴν καρδίας στῆσον·
οὐ γάρ ἐστίν σοι πιστότερος αὐτῆς·
ψυχὴ γὰρ ἀνδρὸς ἀπαγγέλλειν ἐνίοτε εἴωθεν,
ἢ ἑπτὰ σκοποὶ ἐπὶ μετεώρου καθήμενοι ἐπισκοπῆς.
Καὶ ἐπὶ πᾶσι τούτοις δεήθητι τοῦ ὑψίστου
ἵνα εὐθύνῃ ἐν ἀληθείᾳ τὴν ὁδόν σου.
Ἀρχὴ παντὸς ἔργου, λόγος,
καὶ πρὸ πάσης πράξεως βουλή.

---

**3 – 26** ***II$^2$2558** Sir. 37, $10^1$–$16^2$ (Wahl, *Sirach-Text*, p. 146–147)

---

**2 – 26** ***II$^2$2558** P cap. Σ 12, 3 (315rB[1]2–315vA15); E cap. 214, 3–4; R cap. Σ 11, 3; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2558** (a) P (b) *s. a.* / *s. a.* E *(cf. infra, app. crit. text.)* (c) *s. d.* R

---

**4** ζητούντων R  ἔγκρυψον] *scripsi (*II$^1$1112 / K cap. Θ 6, 5 *et* II$^1$2171 / K cap. Φ 2, 15), ἔκκρυψον *(*ἐκ- P*)* P R, κρύψον E *(LXX)*  **5 – 24** Μετὰ – σου] *om.* E, *ubi caesura post* βουλήν  **8** ἀγοράζοντος] ἀγοραστοῦ R  **13** οἰκέτῃ] *praem.* καὶ R  **17** ὅς] *scripsi (LXX)*, δός R, δος P  **20** οὐ – σοι] οὐ γὰρ *(sic)* ἐστιν σοι P, οὐ γάρ *(*γὰρ *a. c.)* ἐστί σοι τίς R,  **21 – 22** ψυχὴ – ἐπισκοπῆς] *om.* R  **23** τούτοις πᾶσι R  τοῦ] *om.* P  **24** εὐθύνης P

## *II²2559 / PMLᵇ cap. Σ 12, 4

Τοῦ αὐτοῦ·

Οἱ εἰρηνεύοντές σοι ἔστωσαν πολλοί,
οἱ δὲ σύμβουλοί σου εἷς ἀπὸ χιλίων.

## *II²2560 / PMLᵇ cap. Σ 12, 5

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸν α′ ψαλμόν·

Ἀδικοῦσι δὲ προηγουμένως μὲν ἑαυτούς, ἔπειτα δὲ καὶ τοὺς πλησιάζοντας, οἱ καὶ ἑαυτοῖς πονηροὶ σύμβουλοι ἐπὶ τῶν πράξεων γινόμενοι, καὶ ἑτέροις ὄντες μοχθηρὸν ὑπόδειγμα.

## *II²2561 / PMLᵇ cap. Σ 12, 6

Φίλωνος, ἐκ τῶν ἐν Γενέσει ζητουμένων·

Ἐπειδὴ πρὸς πολλὰ τῶν κατὰ τὸν βίον τυφλὸς ὁ τῶν μὴ πεφιλοσοφηκότων νοῦς, χρηστέον τοῖς βλέπουσι τὰς τῶν πραγμάτων ἰδέας πρὸς ὁδηγίαν.

---

**3 – 4** ***II²2559** Sir. 6, 6$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 59) **7 – 9** ***II²2560** Basilius Caesariensis, *Homilia in Psalmum LXI*, 4 (PG 29, 480, 22–25) **12 – 14** ***II²2561** Philo Iudaeus, *Quaestiones in Genesim*, locus non repertus (ed. Petit, p. 226.15); Royse 175.28

---

**2 – 4** ***II²2559** P cap. Σ 12, 4 (315vA[15]16–19); E cap. 214, 5; R cap. Σ 11, 4; *deest in* M(lac.) Lᵇ T(lac.) HIII **6 – 9** ***II²2560** P cap. Σ 12, 5 (315vA[20]21–30); R cap. Σ 11, 5; *deest in* M(lac.) Lᵇ E T(lac.) HIII **11 – 14** ***II²2561** P cap. Σ 12, 6 (315vA[31]32–135vB4); E cap. 214, 6; R cap. Σ 11, 6; *deest in* M(lac.) Lᵇ T(lac.) HIII

---

***II²2559** (a) P R (b) *s. a.* E ***II²2560** ἐκ τοῦ] *om.* P ***II²2561** (a) P R ζητουμένων] *sic* R, *om.* P (b) Φίλωνος E

---

**7** μὲν] *om.* P **8** καὶ] *om.* R **13** χρητέον P **14** εἰδέας E

## Τίτλος ιγ′ Περὶ σκληροτραχήλων.

### *II$^2$2562 / PML$^b$ cap. Σ 13, 1

Τῆς Ἐξόδου·

Εἶπεν κύριος πρὸς Μωϋσῆν· Εἶπον τοῖς υἱοῖς Ἰσραήλ· Ὑμεῖς λαὸς σκληροτράχηλος· ὁρᾶτε μὴ πληγὴν ἄλλην ἐγὼ ἐπάξω ἐφ’ ὑμᾶς καὶ ἐξαναλώσω ὑμᾶς.

### *II$^2$2563 / PML$^b$ cap. Σ 13, 2

Παροιμιῶν·

Ὁ σκληροκάρδιος οὐ συναντᾷ ἀγαθοῖς.

### *II$^2$2564 / PML$^b$ cap. Σ 13, 3

Ὠσηὲ προφήτου·

Ἐφραὶμ δάμαλις δεδιδαγμένη ἀγαπᾶν νεῖκος.

---

**4** ***II$^2$2562** Εἶπε – Μωϋσῆν] Ex. 33, 1 **4 – 6** Εἶπον – ὑμᾶς] Ibid. 33, 5 **9** ***II$^2$2563** Prov. 17, 20$^1$ (Wahl, *Proverbien-Text*, p. 88) **12** ***II$^2$2564** Os. 10, 11 (Wahl, *Prophetenzitate*, p. 170)

---

**1** **Titlos** P (315vB5) M$^{pin}$ L$^{b\ pin}$ E$^{txt}$ A$^{III\ pin}$ R; *deest in* M$^{txt\ (lac.)}$ L$^{b\ txt}$ E$^{pin\ (lac.)}$ T$^{(lac.)}$ H$^{III}$A$^{III\ txt}$ **3 – 6** ***II$^2$2562** P cap. Σ 13, 1 (315vB[5]6–13); E cap. 215, 1; R cap. Σ 14, 1; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **8 – 9** ***II$^2$2563** P cap. Σ 13, 2 (315vB[14]15–16); E cap. 215, 2; R cap. Σ 14, 2; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **11 – 12** ***II$^2$2564** P cap. Σ 13, 3 (315vB[17]18–20); E cap. 215, 3; R cap. Σ 14, 3; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* PM$^{pin}$ L$^{b\ pin}$ E$^{txt}$ A$^{III\ pin}$ R$^{pin}$ ιγ′] ιδ′ R, σιε′ E$^{txt}$, *propt. mg. resect. non liquet in* A$^{III\ pin}$ *(ις′ secund. ser.)*

---

***II$^2$2562** Τῆς] *om.* P ***II$^2$2564** ωσηὲ P

---

**4** μωϋσην P **9** σκληροτράχηλος R **12** ἐφραιμ P

## *II²2565 / PMLᵇ cap. Σ 13, 4

Ἡσαΐου προφήτου·

Γινώσκω ἐγὼ ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ πρόσωπόν σου χαλκοῦν.

## *II²2566 / PMLᵇ cap. Σ 13, 5

Ἱερεμίου προφήτου·

Περιτμήθητε τῷ θεῷ ὑμῶν, καὶ περιτέμνεσθε τὴν σκληροκαρδίαν ὑμῶν, ἄνδρες Ἰούδα.

## *II²2567 / PMLᵇ cap. Σ 13, 6

Τοῦ αὐτοῦ·

Πάντα τὰ ἔθνη ἀπερίτμητα σαρκί, καὶ πᾶς οἶκος Ἰσραὴλ ἀπερίτμητοι καρδίας αὐτῶν.

## *II²2568 / PMLᵇ cap. Σ 13, 7

Ἰεζεκιὴλ προφήτου·

Εἶπεν κύριος πρός με· Υἱὲ ἀνθρώπου, ἐξαποστελῶ σε ἐγὼ πρὸς

**3 – 4** ***II²2565** Is. 48, 4 (Wahl, *Prophetenzitate*, p. 415) **7 – 8** ***II²2566** Ier. 4, 4 (Wahl, *Prophetenzitate*, p. 488) **11 – 12** ***II²2567** Ier. 9, 26 (Wahl, *Prophetenzitate*, p. 519–520) **15 – 1126, 7** ***II²2568** Εἶπεν – αὐτούς] Ez. 2, 3–6 (pluribus omissis; Wahl, *Prophetenzitate*, p. 609–610)

**2 – 4** ***II²2565** P cap. Σ 13, 4 (315vB[21]22–27); R cap. Σ 14, 4; *deest in* M$^{(lac.)}$ Lᵇ E T$^{(lac.)}$ H$^{III}$ **6 – 8** ***II²2566** P cap. Σ 13, 5 (315vB[27]28–33); E cap. 215, 4; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$ R **10 – 12** ***II²2567** P cap. Σ 13, 6 (315vB[33]34–316rA2); E cap. 215, 5; R cap. Σ 14, 5; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$ **14 – 1126, 14** ***II²2568** P cap. Σ 13, 7 (316rA[3]4–316rB12); E cap. 215, 6; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$ R

***II²2565** ησαΐου P προφήτου] *om.* R ***II²2566** ϊηρεμίου P προφήτου] *om.* E ***II²2567** (a) P (b) Ἱερεμίου R (c) *s. a.* E ***II²2568** ϊεζεκιηλ P προφητου] *om.* E

**8** ϊουδα P

τὸν οἰκον τοῦ Ἰσραήλ, τοὺς παραπικραίνοντάς με, οἵτινες παρεπίκρανάν με· αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἠθέτησαν ἐν ἐμοὶ ἕως τῆς σήμερον ἡμέρας· καὶ υἱοὶ σκληροπρόσωποι καὶ στερεοκάρδιοι, πρὸς οὓς ἐγὼ ἐξαποστελῶ σε πρὸς αὐτούς, καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει κύριος κύριος· Ἐὰν ἄρα ἀκούσωσιν καὶ ποιήσωσιν, διότι οἶκος παραπικραίνων ἐστίν, καὶ ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς, λάλησον τοὺς λόγους μου πρὸς αὐτούς, διότι <οὐ> πρὸς λαὸν βαρύχειλον καὶ βαρύγλωσσον σὺ ἐξαποστέλλῃ πρὸς τὸν οἶκον Ἰσραήλ, οὐ πρὸς λαοὺς ἀλλοφώνους ἢ ἀ<λ>λογλώσσους, οὐδὲ στιβαροὺς τῇ γλώσσῃ ὄντας, ὧν οὐκ ἀκούσῃ τοὺς λόγους αὐτῶν. Καὶ εἰ πρὸς τοιούτους ἐξαπέστειλά σε, οὗτοι ἂν ἤκουόν σου· ὁ δὲ οἶκος Ἰσραὴλ οὐ μὴ θελήσουσιν εἰσακοῦσαι σου, διότι οὐ βούλονται εἰσακοῦσαι μου, ὅτι πᾶς οἶκος Ἰσραὴλ φιλόν<ε>ικος καὶ σκληροκάρδιος.

---

**7 – 14** διότι – σκληροκάρδιος] Ez. 3, 5–7 (Wahl, *Prophetenzitate*, p. 611–612)

---

**4** πρὸς[2] – ἐρεῖς] *om.* E **5** κύριος κύριος] *sic* P E ἄρα] *scripsi*, ἆρα P E **5 – 6** ποιήσωσιν] πτοηθῶσι *II[2]156 / T cap. A 6, 25 *et LXX* **6** σκορπιῶν P **7** οὐ] *supplevi (cf.* *II[2]156 / T cap. A 6, 25 *et LXX)*, *om.* P E **8** ἐξαποστέλῃ P[a. c.] **9 – 14** οὐ – σκληροκάρδιος] *om.* E **9 – 10** ἀλλογλώσσους] *scripsi*, ἀλογλώσσους P **13 – 14** φιλόνεικος] *scripsi*, φιλονικος P

## Τίτλος ιδʹ Περὶ σχηματαρίων.

### *II$^2$2569 / PML$^b$ cap. Σ 14, 1

Ψαλμοῦ ξαʹ·

Τῷ στόματι αὐτῶν ηὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.

### *II$^2$2570 / PML$^b$ cap. Σ 14, 2

Ἡσαΐου προφήτου·

Ὁ λαὸς οὗτος τοῖς χείλεσίν με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾿ ἐμοῦ.

### *II$^2$2571 / PML$^b$ cap. Σ 14, 3

Παροιμιῶν·

Ἐνεὸν ἑαυτὸν ποιήσας, δόξει φρόνιμος εἶναι.

---

**4** ***II$^2$2569** Ps. 61, 5$^3$ **7 – 8** ***II$^2$2570** Is. 29, 13 (Wahl, *Prophetenzitate*, p. 358–359) **11** ***II$^2$2571** Prov. 17, 28$^2$ (Wahl, *Proverbien-Text*, p. 89)

---

**1** **Titlos** P (316rB13) $M^{pin}$ $L^{b\,pin}$ $E^{txt}$ $A^{III\,pin}$ R; *deest in* $M^{txt\,(lac.)}$ $L^{b\,txt}$ $E^{pin\,(lac.)}$ $T^{(lac.)}$ $H^{III}A^{III\,txt}$ **3 – 4** ***II$^2$2569** P cap. Σ 14, 1 (316rB[13]14–17); E cap. 216, 1; R cap. Σ 15, 1; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ **6 – 8** ***II$^2$2570** P cap. Σ 14, 2 (316rB[18]19–22); E cap. 216, 2; R cap. Σ 15, 2; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ **10 – 11** ***II$^2$2571** P cap. Σ 14, 3 (316rB[23]24–26); E cap. 216, 3; R cap. Σ 15, 3; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* P$M^{pin}$ $L^{b\,pin}$ $E^{txt}$ $A^{III\,pin}$ $R^{pin}$ ιδʹ] ιεʹ R, ςιςʹ $E^{txt}$, ιζʹ $A^{III\,pin}$ σχηματαρίων] σχηματηρῖων $M^{pin}$ *(-ί- man. rec.)*

---

***II$^2$2569** (a) P R ψαλμὸς R (b) Δαυΐδ E ***II$^2$2570** ησαϊου P προφήτου] *om.* R E

---

**4** κατηρῶτο R **11** ἐννεὸν R δοξη P

## *Π$^{2}$2572 / PML$^{b}$ cap. Σ 14, 4

Σιράχ·

Ἐννεύων ὀφθαλμῷ τεκταίνεται κακά,
καὶ οὐδεὶς αὐτὰ ἀποστήσει ἀπ᾽ αὐτοῦ·
ἀπέναντι τῶν ὀφθαλμῶν γλυκανεῖ τὸ στόμα αὐτοῦ,
καὶ ἔναντι τῶν λόγων σου ἐκθαυμάσει,
ὕστερον δὲ διαστρέψει τὸ πρόσωπον αὐτοῦ,
καὶ ἐν τοῖς λόγοις σου δώσει σκάνδαλον.
Ὅσα ἐμίσησα καὶ οὐχ᾽ ὡμοίωσα αὐτῷ,
καὶ ὁ κύριος μισεῖ αὐτόν.

## *Π$^{2}$2573 / PML$^{b}$ cap. Σ 14, 5

<***>

Ἔστιν πορευόμενος συγκεκυφὼς μελανίᾳ,
καὶ τὰ ἐντὸς αὐτοῦ πλήρης δόλων·
†συνκρίβων† πρόσωπον καὶ ἑτεροκωφῶν,
ὅπου οὐκ ἔγνως, προφθάσει σε,
καὶ ἐὰν ὑπὸ ἐλαττώματος ἰσχύος κωλυθῇ ἁμαρτεῖν,
ἐὰν εὕρῃ καιρόν, κακοποιήσει σε.

---

**3 – 10** ***Π$^{2}$2572** Sir. 27, 22$^{1}$–24$^{2}$ (Wahl, *Sirach-Text*, p. 120) **13 – 18** ***Π$^{2}$2573** Sir. 19, 26$^{1}$–28$^{2}$ (Wahl, *Sirach-Text*, p. 99)

---

**2 – 10** ***Π$^{2}$2572** P cap. Σ 14, 4 (316rB[26]27–316vA7); E cap. 216, 4; R cap. Σ 15, 4; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **12 – 18** ***Π$^{2}$2573** P cap. Σ 14, 5 (316vA8–20); *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R

---

***Π$^{2}$2573** *s. a.* P

---

**3** τεκτένεται R$^{a. c.}$ **9 – 10** Ὅσα – αὐτόν] *om.* E **13** πονηρευόμενος *Π$^{2}$1370 / T cap. E 10, 16 **15** †συνκρίβων†] *cruces apposui, sic* P, συγκύφων *Π$^{2}$1371 / T cap. E 10, 17 *et LXX (cf. etiam app. crit.)* **16** ἐγνώσθη *Π$^{2}$1371 / T cap. E 10, 17 *et LXX*

## *Π²2574 / PML^b cap. Σ 14, 6

Τοῦ αὐτοῦ·

Ἔστιν σοφιζόμενος ἐν λόγοις μισητός·
οὐ γὰρ ἐδόθη αὐτῷ χάρις παρὰ κυρίου.

## *Π²2575 / PML^b cap. Σ 14, 7

Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου·

Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δὲ εἰσὶν λύκοι ἅρπαγες. Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.

## *Π²2576 / PML^b cap. Σ 14, 8

Ἐκ τοῦ αὐτοῦ·

Ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. Πάντα οὖν ὅσα εἴπωσιν ὑμῖν ποιεῖν, ποιεῖτε καὶ τηρεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. Πάντα γὰρ ποιοῦσιν πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· πλατύνουσι γὰρ τὰ φυλακτήρια αὐτῶν, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν, φιλοῦσιν τὲ τὰς πρωτοκλισίας ἐν τοῖς δείπνοις καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββί.

---

**3** ***Π²2574*** Ἔστιν – μισητός] Sir. 37, 20¹ (Wahl, *Sirach-Text*, p. 148) **4** οὐ – κυρίου] Ibid. 37, 21¹ (Wahl, p. 148) **7 – 9** ***Π²2575*** Matth. 7, 15–16 **12 – 14** ***Π²2576*** Ἐπὶ – ποιεῖτε] Matth. 23, 2–3 **14 – 19** Πάντα – ῥαββί] Ibid. 23, 5–7

---

**2 – 4** ***Π²2574*** P cap. Σ 14, 6 (316vA[21]22–25); E cap. 216, 5; *deest in* M^(lac.) L^b T^(lac.) H^III R **6 – 9** ***Π²2575*** P cap. Σ 14, 7 (316vA[26]27–36); E cap. 216, 6; R cap. Σ 15, 5; *deest in* M^(lac.) L^b T^(lac.) H^III **11 – 19** ***Π²2576*** P cap. Σ 14, 8 ([316vA36] 316vB1–27); R cap. Σ 15, 6; *deest in* M^(lac.) L^b E T^(lac.) H^III

---

***Π²2574*** (a) P (b) *s. a.* E ***Π²2575*** (a) P R Εὐαγγελίου] *om.* R (b) Εὐαγγελίου E

---

**4** δοθη P **7 – 9** οἵτινες – αὐτούς] καὶ τὰ ἑξῆς R **8** δὲ εἰσὶν] *sic* P E **13** τηρεῖται P **17** πρωτοκλησίας P

## *II²2577 / PMLᵇ cap. Σ 14, 9

Τοῦ αὐτοῦ·

Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται τοῖς ἀνθρώποις ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας. Οὕτως καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας.

## *II²2578 / PMLᵇ cap. Σ 14, 10

Ἐκ τῆς Πέτρου ἐπιστολῆς·

…ὡς ἐλεύθεροι καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν…

## *II²2579 / PMLᵇ cap. Σ 14, 11

Ἐκ τῆς πρὸς Κορινθίους β′ ἐπιστολῆς·

Οἱ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. Καὶ οὐ θαῦμα· αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. Οὐ μέγα οὖν, εἰ καὶ οἱ διάκο-

---

**3 – 7** ***II²2577** Matth. 23, 27–28 **10 – 11** ***II²2578** I Petr. 2, 16 **14 – 1131, 2** ***II²2579** II Cor. 11, 13–15

---

**2 – 7** ***II²2577** P cap. Σ 14, 9 (316vB[27]28–317rA8); E cap. 216, 7; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$ R **9 – 11** ***II²2578** P cap. Σ 14, 10 (317rA[8]9–12); R cap. Σ 15, 7; *deest in* M$^{(lac.)}$ Lᵇ E T$^{(lac.)}$ H$^{III}$ **13 – 1131, 2** ***II²2579** P cap. Σ 14, 11 (317rA[13]14–29); E cap. 216, 8; R cap. Σ 15, 8; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$

---

***II²2577** (a) P (b) *s. a.* E ***II²2578** (a) P (b) Ἐκ τῆς πρὸς R *(quae verba pars prior lemmatis loci sequentis esse videntur)* ***II²2579** (a) P (b) Κορινθίους β$^{τρ}$ ἐπιστολῆς R *(pars altera videtur esse lemmatis, cuius pars prior ante locum praecedentem legitur)* (c) Ἀποστόλου E

---

**3** φαρισαῖοι ὑποκριταί *(sine interpunctione)* E παρομοιάζεται P **6** φαίνεσθαι P **14** μετασχηματιζόμενοι] *praem.* καὶ P E **15** θαυμαστὸν R σατανας P

νοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.

## *II$^2$2580 / PML$^b$ cap. Σ 14, 12

Τοῦ θεολόγου Γρηγορίου, ἐκ τοῦ εἰς Ἥρωνα τὸν φιλόσοφον·

Οὐκ ἐν μικροῖς τὸ εὐσεβές, οὐδὲ ἐν τῷ κατηφεῖ τὸ φιλόσοφον, ἀλλ’ ἐν ψυχῆς στερρότητι καὶ διανοίας καθαρότητι καὶ γνησίᾳ τῇ πρὸς τὸ καλὸν νεύσει, ὅπως ἂν τοῦ σχήματος ἔχωμεν, καὶ οἷστισιν ἂν ὁμιλῶμεν, εἴτε ἡμῖν αὐτοῖς μόνοις συστέλλοντες τὸν νοῦν ἀπὸ τῶν αἰσθήσεων, εἴτε τοῖς πολλοῖς τε καὶ ὁμοφύλοις, ὑπερορῶντες τὸν ἐν τῷ τρίβωνι τύφον καὶ τὴν ἐν τῇ ὑπήνῃ αὐθάδειαν τοῦ σχήματος.

## *II$^2$2581 / PML$^b$ cap. Σ 14, 13

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς Βασίλειον·

Παραπεπήγασι ταῖς ἀρεταῖς αἱ κακίαι, ὥσπερ ἀγχίθυροι· καὶ ῥᾷστον, ἄλλό τι ὄντα, ἕτερον νομισθῆναι τοῖς μὴ τὰ τοιαῦτα πεπαιδευμένοις.

---

**5 – 9** ***II$^2$2580** Οὐκ – ὁμοφύλοις] GREGORIUS NAZIANZENUS, *In laudem Heronis philosophi (Orat. 25)*, 6, 10–15 (ed. Mossay/Lafontaine, p. 168) **9 – 11** ὑπερορῶντες – σχήματος] cf. IBID., 5, 14–16 et 6, 8 (p. 166 et 168) **14 – 16** ***II$^2$2581** GREGORIUS NAZIANZENUS, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 64, 21–24 (ed. Bernardi, p. 266)

---

**4 – 11** ***II$^2$2580** P cap. Σ 14, 12 (317rA[30]31–317rB15); E cap. 216, 9; R cap. Σ 15, 9; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **13 – 16** ***II$^2$2581** P cap. Σ 14, 13 (317rB[16]17–24); E cap. 216, 10; R cap. Σ 15, 10; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2580** (a) P ἡρωνα *cod.* (b) Τοῦ Θεολόγου R E Τοῦ] *om.* E ***II$^2$2581** (a) P R βασιλειον P (b) *s. a.* E

---

**1** ὡς διάκονοι] εις διακόνους P E **6** ἐν] ἐκ P διανοίας – καὶ$^2$] *in mg.* P **7 – 11** ὅπως – σχήματος] *om.* E **10** τῦφον R **14** ὥσπερ] εἰσί πως E **15** ὄντας P E

$II^1$ / K cap. Σ 1

## Τίτλος ιε′ Περὶ συμμέτρου καταστάσεως καὶ τοῦ Μηδὲν ἄγαν.

### *$II^2$2582 / $PML^b$ cap. Σ 15, 1

Παροιμιῶν·

Μέλι εὑρὼν φάγε τὸ ἱκανόν,
μήποτε πλησθεὶς ἐξεμέσῃς.

$II^1$1856 / K cap. Σ 1, 2

### *$II^2$2583 / $PML^b$ cap. Σ 15, 2

Ἐκκλησιαστοῦ·

Μὴ ἔσο δίκαιος πολύ,
μὴ δὲ σοφίζου περισσά, μήποτε ἐκπλαγῇς.
Καὶ μὴ γίνου σκληρός,
ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου.
Ἀγαθὸν τὸ ἀντέχεσθαί σε ἐν τούτῳ,
ὅτι ὁ φοβούμενος τὸν θεὸν διελεύσεται τὰ πάντα.

---

**1 – 2** Μηδὲν ἄγαν] cf. e. g. Plat., *Prot.*, 343b3 **5 – 6** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 27.4./4. (ed. Ihm, p. 588)

---

**5 – 6** ***$II^2$2582** Prov. 25, $16^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 125) **9 – 13** ***$II^2$2583** Μὴ – τούτῳ] Eccle. 7, $16^1$–$18^1$ (Wahl, *Kohelet-Text*, p. 161–162) **14** ὅτι – πάντα] Ibid. 7, $18^3$ (Wahl, p. 162)

---

**1 – 2 Titlos** P (317rB25–26) $M^{pin}$ $L^{b\ pin}$ $E^{txt}$ $A^{III\ pin}$ R; *deest in* $M^{txt\ (lac.)}$ $L^{b\ txt}$ $E^{pin\ (lac.)}$ $T^{(lac.)}$ $H^{III}$$A^{III\ txt}$ **4 – 6** ***$II^2$2582** P cap. Σ 15, 1 (317rB[27]28–30); E cap. 217, 1; R cap. Σ 16, 1; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ **8 – 14** ***$II^2$2583** P cap. Σ 15, 2 (317rB[31] 32–317vA6); E cap. 217, 2; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ R

---

**1** Τίτλος] *om.* P$M^{pin}$ $L^{b\ pin}$ $A^{III\ pin}$ $E^{txt}$ $R^{pin}$ ιε′] η′ $A^{III\ pin}$, ις′ R, ciζ′ $E^{txt}$ **1 – 2** καταστάσεως – ἄγαν] *om.* $M^{pin}$

---

**6** μήπως R ἐξεμήσῃς E

## *II$^2$2584 / PML$^b$ cap. Σ 15, 3

**II$^1$1857 / K cap. Σ 1, 3**

Τοῦ Σιράχ·

Βάρος ὑπὲρ σὲ μὴ ἄρῃς,
καὶ ἰσχυροτέρῳ σου καὶ πλουσιωτέρῳ σου μὴ κοινώνει.

## *II$^2$2585 / PML$^b$ cap. Σ 15, 4

Τοῦ αὐτοῦ·

Τί κοινωνήσει χύτρα πρὸς λέβητα;
Αὐτὴ προσκρούσει καὶ αὐτὴ συντριβήσεται.

## *II$^2$2586 / PML$^b$ cap. Σ 15, 5

<***>

Μὴ ζήτει παρὰ κυρίου ἡγεμονίαν,
μὴ δὲ παρὰ βασιλέως καθέδραν δόξης.

---

**11 – 12** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 9.6./6. (ed. Ihm, p. 210)

---

**3 – 4** ***II$^2$2584** Sir. 13, 2$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 81–82) **7 – 8** ***II$^2$2585** Sir. 13, 2$^{3-4}$ (Wahl, *Sirach-Text*, p. 81–82) **11 – 12** ***II$^2$2586** Sir. 7, 4$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 63)

---

**2 – 4** ***II$^2$2584** P cap. Σ 15, 3 (317vA[7]8–12); E cap. 217, 3; R cap. Σ 16, 2; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **6 – 8** ***II$^2$2585** P cap. Σ 15, 4 (317vA[12]13–17); E cap. 217, 4; R cap. Σ 16, 3; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **10 – 12** ***II$^2$2586** P cap. Σ 15, 5 (317vA18–21); E cap. 217, 5; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^2$2584** Τοῦ] *om.* E R ***II$^2$2585** (a) P (b) *s. a.* E (c) *s. d.* R ***II$^2$2586** *s. a.* P *(ubi fenestra perparva, minio circumlita auroque illita, sed non inscripta)* E

---

**4** πλουσιωτέρῳ σου] ὑψηλοτέρω σου *(*σου] σο *a. c.)* R **8** Αὐτὴ] αὐτη P αὐτὴ] αὐτῆ R, αὐτη P

## *II$^2$2587 / PML$^b$ cap. Σ 15, 6

Πρὸς Κορινθίους α′·

Λέγω παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ’ ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισεν μέτρον πίστεως.

**II$^1$1868 / K cap. Σ 1, 14**

## *II$^2$2588 / PML$^b$ cap. Σ 15, 7

Τοῦ Θεολόγου, ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ·

Αἱρετώτερον ἐμοὶ ἐπὶ γῆς ἀνέχοντι καὶ βραχεῖαν αὔλακα τέμνοντι καὶ γλυκεῖαν, πόρρωθεν ἀσπαζομένῳ κέρδη καὶ θάλασσαν, ζῆν οὕτως ὅπως ἂν δύνωμαι σὺν ὀλίγῃ καὶ μικρᾷ τῇ μάζῃ, καὶ βίον ἕλκειν ἀσφαλῆ καὶ ἀκύμαντον, ἢ μακρὸν ἀναρριπίζειν καὶ μέγαν ἐπὶ μεγάλοις κέρδεσιν κίνδυνον. Ὑψηλῷ μὲν γὰρ ζημία τὸ μὴ ἐγχειρεῖν μείζοσιν, μὴ δ’ εἰς πλείους διατείνειν τὴν ἀρετήν, ἀλλ’ ἐπὶ μικρῶν ἵστασθαι, οἷον μεγάλῳ φωτὶ μικρὸν οἶκον αὐγάζοντα ἢ πανοπλίᾳ νεανικῇ σῶμα παιδικὸν περισκέποντα· μικρῷ δὲ ἀσφάλεια, μικρὰ φορτίζεσθαι, ἀλλὰ μὴ τοῖς ὑπὲρ δύναμιν ἑαυτὸν ὑποτιθέντα, γέλωτα ὀφλισκάνειν ὁμοῦ καὶ προστιθέναι τὸν κίνδυνον.

---

**3 – 5** ***II$^2$2587** I Cor., re vera Rom. 12, 3 **8 – 17** ***II$^2$2588** Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 100, 5 – 101, 7 (ed. Bernardi, p. 220)

---

**2 – 5** ***II$^2$2587** P cap. Σ 15, 6 (317vA[22]23–31); E cap. 217, 6; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **7 – 17** ***II$^2$2588** P cap. Σ 15, 7 (317vA[32]33–317vB36); *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^2$2587** (a) P κορινθιους *cod.* (b) Ἀποστόλου E

---

**4** ἀλλὰ – σωφρονεῖν] *om.* E **8** αἱρετότερον P **11** ἀναρριπίζειν] *sic* P, ἀναρριπτεῖν *ed.*

## *II$^2$2589 / PML$^b$ cap. Σ 15, 8

Ἐκ τοῦ αὐτοῦ·

Βέλτιον τὰς ἑαυτῶν ἡνίας ἐνδιδόναι τεχνικωτέροις ἢ ἄλλων ἡνιόχους εἶναι ἀνεπιστήμονας.

## *II$^2$2590 / PML$^b$ cap. Σ 15, 9

Τοῦ αὐτοῦ·

Βέλτιον *ἀκούειν φωνὴν αἰνέσεως* ἢ ἐξηγητὴν εἶναι τῶν ὑπὲρ δύναμιν.

## *II$^2$2591 / PML$^b$ cap. Σ 15, 10

Ἐκ τοῦ πρὸς Εὐνομιανούς·

Μὴ καθάπερ ἵπποι θερμοὶ καὶ δυσκάθεκτοι τὸν ἐπιβάτην λογισμὸν ἀπορρίψαντες, καὶ τὴν καλῶς ἄγχουσαν εὐλάβειαν ἀποπτύσαντες, πόρρω τῆς νύσσης θέωμεν, ἀδελφοί, ἀλλ᾽ εἴσω τῶν ἡμετέρων ὅρων φιλοσοφῶμεν. Μέλιτος γὰρ πλησμονὴ καὶ κόρος ἔμετον ἐργάζεται, καίπερ ὄντος μέλιτος.

---

**3 – 4** Βέλτιον – εἶναι] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 15.12./12. (ed. Ihm, p. 360) **7** Ps. 25, $7^1$ **14 – 15** Μέλιτος – ἐργάζεται] cf. Prov. 25, $16^{1-2}$

---

**3 – 4** ***II$^2$2589** Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 47, 1–3 (ed. Bernardi, p. 150) **7 – 8** ***II$^2$2590** Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 76, 1–2 (ed. Bernardi, p. 188) **11 – 14** ***II$^2$2591** Μὴ – φιλοσοφῶμεν] Gregorius Nazianzenus, *De theologia I adversus Eunomianos (Orat. 27)*, 5, 3–6 (ed. Gallay/Jourjon, p. 80–82) **14 – 15** Μέλιτος – μέλιτος] Ibid., 4, 13–15 (p. 80)

---

**2 – 4** ***II$^2$2589** P cap. Σ 15, 8 ([317vB36]318rA1–6); E cap. 217, 7; R cap. Σ 16, 5; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **6 – 8** ***II$^2$2590** P cap. Σ 15, 9 (318rA[6]7–10); E cap. 217, 8; R cap. Σ 16, 4; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **10 – 15** ***II$^2$2591** P cap. Σ 15, 10 (318rA[11]12–28); E cap. 217, 9; R cap. Σ 16, 6; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2589** (a) P R Ἐκ] *om.* R (b) Θεολόγου E ***II$^2$2590** (a) P (b) Τοῦ Θεολόγου R (c) *s. a.* E ***II$^2$2591** (a) P R ευνομιανους P, εὐνομίους R (b) *s. a.* E

---

**3** ἑαυτῶν] αὐτῶν P **3 – 4** τεχνικωτέροις – ἀνεπιστήμονας] *om.* E **3** τεχνηκοτέροις P **13** νύσης P$^{a. c.}$

## *II$^{2}$2592 / PML$^{b}$ cap. Σ 15, 11

Ἐκ τοῦ περὶ υἱοῦ λόγου α′·

Ὥσπερ ἐσθῆτος καὶ διαίτης καὶ γέλωτος καὶ βαδίσματος οὖσαν τινὰ κοσμιότητα, οὕτω δὴ καὶ λόγου καὶ σιωπῆς ἐπιγνῶμεν.

**cf. II$^{1}$1867 / K cap. Σ 1, 13**

## *II$^{2}$2593 / PML$^{b}$ cap. Σ 15, 12

Ἐκ τοῦ εἰς Βασίλειον·

Καὶ θεῷ φίλον τὸ κατὰ δύναμιν.

**II$^{1}$1862 / K cap. Σ 1, 8**

## *II$^{2}$2594 / PML$^{b}$ cap. Σ 15, 13

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ εὐταξίας·

Φεύγω τὸ ἄμετρον, καὶ κολάζω τὴν ἀπληστίαν· καὶ ἀργὸς εἶναι μᾶλλον ἢ περίεργος δέχομαι, ἐὰν μὴ ἀμφότερα διαφυγεῖν ἐξῇ, καὶ τοῦ μετρίου τυγχάνειν, καὶ δειλότερος μᾶλλον τοῦ δέοντος ἢ θρασύτερος.

---

**3 – 4** ***II$^{2}$2592** GREGORIUS NAZIANZENUS, re vera *Adversus Eunomianos (Orat. 27)*, 5, 28–30 (ed. Gallay/Jourjon, p. 82–84) **7** ***II$^{2}$2593** GREGORIUS NAZIANZENUS, *Funebris oratio in laudem Basilii Magni Caesareae in Cappadocia episcopi (Orat. 43)*, 82, 6 (ed. Bernardi, p. 304) **10 – 13** ***II$^{2}$2594** GREGORIUS NAZIANZENUS, *De moderatione in disputando (Orat. 32)*, 20, 16–20 (ed. Moreschini, p. 128)

---

**2 – 4** ***II$^{2}$2592** P cap. Σ 15, 11 (318rA[28]29–36); E cap. 217, 10; R cap. Σ 16, 7; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **6 – 7** ***II$^{2}$2593** PML$^{b}$ cap. Σ 15, 12 ([318rA36]318rB1–2); E cap. 217, 11; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **9 – 13** ***II$^{2}$2594** P cap. Σ 15, 13 (318rB[3]4–15); E cap. 217, 12; R cap. Σ 16, 8; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2592** (a) P (b) Τοῦ αὐτοῦ R (c) *s. a.* E ***II$^{2}$2593** (a) P (b) *s. a.* E ***II$^{2}$2594** (a) P R Τοῦ αὐτοῦ] *om.* R (b) *s. a.* E

---

**3 – 4** οὖσάν τινα E, οὖσα τινα P **10** κολάζω] κωλύω R ἀπληστείαν P **11** ἐὰν μὴ] *scripsi*, ἐάν με R E, ἐὰν μὲν P ἐξῆν P, ἐξῆν E

## *II$^{2}$2595 / PML$^{b}$ cap. Σ 15, 14

**II$^{1}$1870 / K cap. Σ 1, 16**

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς ἑαυτὸν καὶ τὸν πατέρα·

Εὐσεβείας ἅμα καὶ ἀσφαλείας, μετρῆσαι τῇ δυνάμει τὴν λειτουργίαν, ὥσπερ καὶ τῆς τροφῆς τὴν μὲν κατὰ δύναμιν προσίεσθαι, τὴν δὲ ὑπὲρ δύναμιν ἀποπέμψασθαι· οὕτω γὰρ σώματι μὲν εὐεξίαν παραγίνεσθαι, ψυχῇ δὲ ἀσφάλειαν τὸ μετριάζειν ἐν ἀμφοτέροις.

## *II$^{2}$2596 / PML$^{b}$ cap. Σ 15, 15

**II$^{1}$1866 / K cap. Σ 1, 12**

Ἐκ τοῦ εἰς μονάζοντας·

Οὔτε νωθρότερον εἶναι τοῦ μετρίου καλόν, οὔτε θερμότερον, ὡς ἢ δι᾽ εὐκολίαν πᾶσιν συμφέρεσθαι, ἢ δι᾽ ἀταξίαν πάντων ἀποστατεῖν· ὁμοίως γὰρ καὶ τὸ νωθὲς ἄπρακτον, καὶ τὸ εὐκίνητον ἀκοινώνητον.

---

**3 – 6** ***II$^{2}$2595** Gregorius Nazianzenus, *In seipsum et ad patrem (Orat. 12)*, 5, 8–12 (ed. Calvet-Sebasti, p. 358) **9 – 12** ***II$^{2}$2596** Gregorius Nazianzenus, *De pace I ob monachorum reconciliationem (Orat. 6)*, 20, 5–8 (ed. Calvet-Sebasti, p. 170–172)

---

**2 – 6** ***II$^{2}$2595** P cap. Σ 15, 14 (318rB[15]16–30); R cap. Σ 16, 9; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ **8 – 12** ***II$^{2}$2596** P cap. Σ 15, 15 (318rB[31]32–318vA7); E cap. 217, 13; R cap. Σ 16, 10; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2595** Τοῦ αὐτοῦ] *om.* P ***II$^{2}$2596** (a) P R Ἐκ τοῦ] *om.* P (b) *s. a.* E

---

**3** ἅμα] ἀσμα P μετρισαι P **4** προΐεσθαι R **5** εὐεξίαν] εὐταξίαν P **6** τὸ] *an legendum* τῷ *(cf. ed. app. crit.)?* **10** ἢ δι'$^{1}$] ηδη P διαταξίαν P, διὰ ἀταξίαν R **11** νωθες P, νωθρὲς R

## Τίτλος ιϛʹ Περὶ συναντημάτων καὶ ἀπροσδοκήτως συμβαινόντων τισίν, ὧν ἡ γνῶσις ἡμῖν μὲν ἴσως ἄγνωστος, θεῷ δὲ εὔγνωστος.

### *II$^{2}$2597 / PML$^{b}$ cap. Σ 16, 1

Δαυΐδ, ψαλμοῦ ιηʹ·

Παραπτώματα τίς συνήσει;

### *II$^{2}$2598 / PML$^{b}$ cap. Σ 16, 2

Τοῦ Ἐκκλησιαστοῦ·

Συνάντημα υἱῶν τοῦ ἀνθρώπου
καὶ συνάντημα τοῦ κτήνους,
συνάντημα ἕ<ν> αὐτοῖς·
ὡς ὁ θάνατος τούτου, ὁ θάνατος τούτου,
καὶ †προη ἐν† τοῖς πᾶσιν.

---

**6** ***II$^{2}$2597** Ps. 18, 13$^{1}$ **9 – 13** ***II$^{2}$2598** Eccle. 3, 19$^{1-5}$ (Wahl, *Kohelet-Text*, p. 152 [et erratim p. 165])

---

**1 – 3** **Titlos** P (318vA8–12) M$^{pin}$ L$^{b\ pin}$ E$^{txt}$ A$^{III\ pin\ cap.\ \Sigma\ 9\ et\ \Sigma\ 18}$ R; *deest in* M$^{txt\ (lac.)}$ L$^{b\ txt}$ E$^{pin\ (lac.)}$ T$^{(lac.)}$ H$^{III}$A$^{III\ txt}$ **5 – 6** ***II$^{2}$2597** P cap. Σ 16, 1 (318vA[12]13–14); E cap. 218, 1; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **8 – 13** ***II$^{2}$2598** P cap. Σ 16, 2 (318vA[14]15–22); *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R

---

**1** Τίτλος] *om.* PM$^{pin}$ L$^{b\ pin}$ E$^{txt}$ A$^{III\ pin\ cap.\ \Sigma\ 9\ et\ \Sigma\ 18}$ R$^{pin}$ ιϛʹ] ιζʹ R, σιηʹ E$^{txt}$, *propt. mg. resect. non liquet in* A$^{III\ pin\ cap.\ \Sigma\ 9}$ *(θʹ secund. ser.) et* A$^{III\ pin\ cap.\ \Sigma\ 18}$ *(ιηʹ secund. ser.)* **1 – 3** καὶ – εὔγνωστος] *om.* M$^{pin}$ **1** καὶ] *om.* A$^{III\ pin\ cap.\ \Sigma\ 9}$

---

***II$^{2}$2597** ψαλμοῦ ιηʹ] *om.* E

---

**11** ἓν αὐτοῖς] *scripsi (LXX)*, ἑαυτοῖς P **13** †προη ἐν†] *cruces apposui*, *sic* P, πνεῦμα ἓν *LXX*

## *II$^{2}$2599 / PML$^{b}$ cap. Σ 16, 3

Τοῦ Ἐκκλησιαστοῦ·

Συνάντημα ἓν τῷ δικαίῳ καὶ τῷ ἀσεβεῖ,
τῷ ἀγαθῷ καὶ τῷ κακῷ,
τῷ καθαρῷ καὶ τῷ ἀκαθάρτῳ,
τῷ θυσιάζοντι καὶ τῷ μὴ θυσιάζοντι·
ὡς ὁ ἀγαθός, ὡς ὁ ἁμαρτάνων,
ὡς ὁ ὀμνύων, καθὼς ὁ τὸν ὅρκον φοβούμενος.
Τοῦτο πονηρὸν ἐν παντὶ τῷ πεποιημένῳ ὑπὸ τὸν ἥλιον,
ὅτι συνάντημα ἓν τοῖς πᾶσιν.

## *II$^{2}$2600 / PML$^{b}$ cap. Σ 16, 4

Τοῦ αὐτοῦ·

Ἔστιν ἐλπὶς ὅτι ὁ κύων ὁ ζῶν, αὐτὸς ἀγαθὸς
ὑπὲρ τὸν λέοντα τὸν τεθνηκότα.

## *II$^{2}$2601 / PML$^{b}$ cap. Σ 16, 5

<***>

Ἐδόθη ἄφρων ἐν ὕψεσιν μεγάλοις,
καὶ πλούσιοι ἐν ταπεινώσει καθήσονται·

---

**3 – 10** ***II$^{2}$2599** Eccle. 9, 2$^{2}$–3$^{2}$ (Wahl, *Kohelet-Text*, p. 165–166) **13 – 14** ***II$^{2}$2600** Eccle. 9, 4$^{2-3}$ (Wahl, *Kohelet-Text*, p. 166) **17 – 1140, 2** ***II$^{2}$2601** Eccle. 10, 6$^{1}$–7$^{2}$ (Wahl, *Kohelet-Text*, p. 169)

---

**2 – 10** ***II$^{2}$2599** P cap. Σ 16, 3 (318vA22–318vB4); E cap. 218, 2; R cap. Σ 17, 1; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **12 – 14** ***II$^{2}$2600** P cap. Σ 16, 4 (318vB[4]5–8); E cap. 218, 3; R cap. Σ 17, 2; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **16 – 1140, 2** ***II$^{2}$2601** P cap. Σ 16, 5 (318vB9–16); E cap. 218, 4; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^{2}$2599** (a) R E Τοῦ] *om.* E (b) *s. d.* P ***II$^{2}$2600** (a) P R (b) *s. a.* E ***II$^{2}$2601** *s. a.* P E

---

**3 – 8** Συνάντημα – φοβούμενος] *om.* E **8** καθῶς P, οὕτως R **14** τὸν τεθνηκότα] *om.* E **18** καθίσονται E

<ε>ἶδον δούλους ἐφ’ ἵππους
καὶ ἄρχοντας πορευομένους ὡς δούλους ἐπὶ τῆς γῆς.

## *II$^{2}$2602 / PML$^{b}$ cap. Σ 16, 6

Τοῦ αὐτοῦ·

Ἔστιν ματαιότης ἣ πεποίηται ἐπὶ τῆς γῆς,
ὅτι εἰσὶν δίκαιοι, ὅτι φθάνει πρὸς αὐτοὺς
ὡς ποίημα τῶν ἀσεβῶν,
καὶ εἰσὶν ἀσεβεῖς, ὅτι φθάνει πρὸς αὐτοὺς
ὡς ποίημα τῶν δικαίων.
Εἶπα· Καί γε τοῦτο ματαιότης.

## *II$^{2}$2603 / PML$^{b}$ cap. Σ 16, 7

Ἐκ τοῦ κατὰ Λουκᾶν·

Παρῆσαν τῷ καιρῷ ἐκείνῳ τινές, ἀπαγγέλλοντες τῷ κυρίῳ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλάτος ἔμιξεν μετὰ τῶν θυσιῶν αὐτῶν. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο ἁμαρτωλοί, ὅτι πεπόνθασιν τοιαῦτα; Οὐχί, λέγω ὑμῖν, ἀλλ’ ἐὰν μὴ μετανοήσητε, πάντες ὁμοίως ἀπολεῖσθε. Ἢ ἐκεῖνοι οἱ δεκαοκτὼ ἐφ’ οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ καὶ ἀπέκτεινεν αὐτούς, δοκεῖτε ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς κατοικοῦντας Ἱερουσαλήμ; Οὐχί, λέγω ὑμῖν, ἀλλ’ ἐὰν μὴ μετανοήσητε, πάντες ὡσαύτως ἀπολεῖσθε.

---

**5 – 10** ***II$^{2}$2602** Eccle. 8, 14$^{1-6}$ (Wahl, *Kohelet-Text*, p. 165) **13 – 22** ***II$^{2}$2603** Luc. 13, 1–5

---

**4 – 10** ***II$^{2}$2602** P cap. Σ 16, 6 (318vB17–28); R cap. Σ 17, 3; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ **12 – 22** ***II$^{2}$2603** P cap. Σ 16, 7 (318vB[28]29–319rA24); R cap. Σ 17, 4; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2602** (a) R (b) *s. a.* P ***II$^{2}$2603** (a) P (b) Ἐκ τοῦ κατὰ Ἰωάννην R

---

**1** εἶδον] *scripsi,* ἰδον P **14** πιλᾶτος P **15 – 22** Καὶ – ἀπολεῖσθε] καὶ τὰ ἑξῆς R **15** δοκεῖται P **15 – 16** γαλιλαιοι P **19** σιλοαμ P δοκεῖται P

## <*II$^2$suppl. 37 / R cap. Σ 17, 5>

## *II$^2$2604 / PML$^b$ cap. Σ 16, 8

Ἐκ τοῦ αὐτοῦ·

Ἔλεγεν δὲ ταύτην τὴν παραβολήν· Συκῆν εἶχεν τίς πεφυτευμένην ἐν τῷ ἀμπελῶνι αὐτοῦ, καὶ ἦλθεν ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ᾿ εὗρεν. Εἶπεν δὲ πρὸς τὸν ἀμπελουργόν· Ἰδοὺ τρία ἔτη ἀφ᾿ ἧς ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ᾿ εὑρίσκω. Ἔκκοψον οὖν αὐτήν· ἱνατί καὶ τὴν γῆν καταργεῖ; Ὁ δὲ ἀπεκρίθη, λέγων αὐτῷ· Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν καὶ βάλω κοπρίαν· κἂν μὲν ποιήσῃ καρπόν, εἰ δὲ μὴ εἰς τὸ μέλλον, ἐκκόψεις αὐτήν.

## *II$^2$2605 / PML$^b$ cap. Σ 16, 9

Σχόλιον·

Ὁ μὲν οὖν κύριος, ἅτε *πάντα πρὸ γενέσεως* ἐπιστάμενος, οὐκ ἐξενίσθη πρὸς τὴν ἀναγγελθεῖσαν ἀκοήν, ἀλλὰ παρασιωπήσας τὰς τῶν συμβεβηκότων ἐκείνοις αἰτίας, ὡς ὑπὲρ τὰς τῶν μανθανόντων ἀκοάς – οὐ γὰρ πάντων θεῖα κατηχεῖσθαι κρίματα –, ἐδίδαξεν μὲν ἐκείνους, δι᾿ ἐκείνων δὲ ἡμᾶς, μὴ πάντων καταψηφιεῖσθαι τῶν ἀπολλυμένων, ὡς κατ᾿ ἀξίαν παθόντων, ἀλλὰ μᾶλλον φοβεῖσθαι, καὶ διὰ μετανοίας τὸν ἑαυτῶν ἐπανορθοῦσθαι βίον, μήποτε τοῖς ἴσοις ἐξ ἀμελείας περιπαρῶμεν. Προστέθηκε δὲ πρὸς ἡμετέραν

**1** ***II$^2$suppl. 37** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8) **14** cf. Sus. 35a (θ′ 42) **21 – 1142, 1** Προστέθηκε – ἀκοῇ] cf. Luc. 13, 1

**4 – 11** ***II$^2$2604** Luc. 13, 6–9 **14 – 1142, 4** ***II$^2$2605** *Scholion in Luc. 13, 1–9*

**3 – 11** ***II$^2$2604** P cap. Σ 16, 8 (319rA24–319rB13); R cap. Σ 17, 6; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **13 – 1142, 4** ***II$^2$2605** P cap. Σ 16, 9 (319rB[mg]14–319vA17); R cap. Σ 17, 7; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$

***II$^2$2604** (a) R (b) *s. d.* P

**4** Ἔλεγεν – παραβολήν] *om.* R τίς εἶχε R **5 – 11** καὶ$^1$ – αὐτήν] καὶ τὰ ἑξῆς R **14** οὖν] *om.* P

σωτηρίαν τῇ περὶ τῶν Γαλιλαίων ἀκοῇ οὐ μόνον τὴν τῶν καταχωσθέντων τῷ πύργῳ ἀπώλειαν, ἀλλὰ δὴ καὶ τὴν εὐθύβολον τοῖς ῥηθεῖσιν παραβολήν, ἐν ᾗ τὴν παράτασιν τῆς εἰς ἡμᾶς μακροθυμίας αὐτοῦ ᾐνίξατο διὰ τῆς συκῆς.

## *II$^{2}$2606 / PML$^{b}$ cap. Σ 16, 10

Τοῦ θεολόγου Γρηγορίου, ἐκ τῶν Ἐπῶν·

Μήτε κακοὺς ὁρόωσα γαληνιό<ω>ντας, ὁδοῖο
Ἵστασο, μήτ’ ἀγαθοῖς φρένα δάπτεο καμπτομένοισι.
Πε<σ>σοὶ ταῦτα βίοιο.

## *II$^{2}$2607 / PML$^{b}$ cap. Σ 16, 11

Βασιλείου, ἐκ τῆς ις′ ἐπιστολῆς·

Κἂν οἱ λόγοι τῶν παρὰ θεοῦ οἰκονομουμένων διαφεύγωσιν ἡμᾶς, ἀλλὰ πάντως γε τὸ παρὰ τοῦ σοφοῦ καὶ ἀγαπῶντος ἡμᾶς οἰκονομηθὲν ἀπόδεκτόν ἐστιν, κἂν ἐπίπονον ᾖ.

---

**1 – 2** τὴν – ἀπώλειαν] cf. Luc. 13, 4 **2 – 3** τὴν – παραβολήν] cf. ibid., 13, 6–9

---

**7 – 9** ***II$^{2}$2606** GREGORIUS NAZIANZENUS, *Carmina*, I,2,2 *(Praecepta ad virgines)*, 360–362 (PG 37, 606, 12 – 607, 2) **12 – 14** ***II$^{2}$2607** BASILIUS CAESARIENSIS, *Epistulae*, V, 2, 17–20 (ed. Courtonne, I, p. 18)

---

**6 – 9** ***II$^{2}$2606** P cap. Σ 16, 10 (319vA[18]19–25); *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R **11 – 14** ***II$^{2}$2607** P cap. Σ 16, 11 (319vA[25]26–35); E cap. 218, 5; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^{2}$2607** ἐκ – ἐπιστολῆς] *om.* E

---

**1** γαλιλαιων P τὴν] *om.* R **3** τῆς] την P εἰς] *om.* R **7** γαληνιόωντας] *scripsi (ed.)*, γαληνιόντας P **8** ἀγαθοῖς] *scripsi (ed.)*, ἀγαθους P **9** Πεσσοὶ] *scripsi (ed.)*, πεσοι P **13** τὸ] *om.* P **14** ἀπόδεκτόν ἐστιν] *sic acc.* E, ἀποδέκτον ἐστὶν P

## *II$^2$2608 / PML$^b$ cap. Σ 16, 12

Τοῦ Θεολόγου, ἐκ τοῦ περὶ φιλοπτωχίας·

Τοῖς ἡμετέροις μάλιστα ἐπιστατεῖν δεξώμεθα τὸν ἡμέτερον, εἴτε ποιητήν, εἴτε καὶ πλάστην βούλει καλεῖν, κἂν διὰ τῶν ἐναντίων ὁ βίος ἡμῶν διεξάγηται, διατοῦτο τυχὸν καὶ ἀγνοουμένων, ἵνα τῷ δυσθεωρήτῳ τὸν ὑπὲρ πάντα λόγον θαυμάζωμεν. Ἐπειδὴ τὸ μὲν ῥαδίως ληπτὸν ἅπαν εὐκαταφρόνητον, τὸ δὲ ὑπὲρ ἡμᾶς ὅσῳ δυσεφικτότερον τοσούτῳ θαυμασιώτερον· καὶ γυμνάζει τὸν πόθον ἅπαν τὸ διαφεῦγον τὴν ἔφεσιν.

## *II$^2$2609 / PML$^b$ cap. Σ 16, 13

Τοῦ Χρυσοστόμου, ἐκ τοῦ πρὸς Σταγείριον·

Οὐκ ἐχρῆν βατὰ τοῖς πᾶσιν ὑπάρχειν τῆς τοῦ θεοῦ σοφίας τὰ τεκμήρια, καὶ τὸν ἄρρητον καὶ ἀκατάληπτον νοῦν πάντῃ γυμνὸν εἶναι ἀνθρώποις, ὅπου γε καὶ βασιλέως ἀνθρώπου καὶ ἄρχοντος ἔστιν ὅτε <τὰ> πλεῖστα τῶν βουλευμάτων κέκρυπται, ὡς καὶ τὸ πραττόμενον ἄδηλον εἶναι ὅτῳ λόγῳ πράττεται.

---

**3 – 9** ***II$^2$2608** Gregorius Nazianzenus, *De pauperum amore (Orat. 14)*, 33 (PG 35, 904, 6–14) **12 – 16** ***II$^2$2609** Iohannes Chrysostomus, *Ad Stagirium a daemone vexatum*, re vera Titus Bostrensis, *Contra Manichaeos*, II, 48, 7–12 (ed. Roman/Schmidt, p. 205–207 = Extrait 6b, ed. Declerck, p. CXXXIV)

---

**2 – 9** ***II$^2$2608** P cap. Σ 16, 12 ([319vA36]319vB1–25); E cap. 218, 6; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **11 – 16** ***II$^2$2609** P cap. Σ 16, 13 (319vB[26]27–320rA6); R cap. Σ 17, 8; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2608** ἐκ – φιλοπτωχίας] *om.* E ***II$^2$2609** ἐκ τοῦ] *om.* R προσταγήριον P

---

**3** δεξόμεθα P **6** πάντων P **7** ληπτὸν ἅπαν] ληπτόν, ἅπαν E **12** τὰ] *om.* P **13** πάντῃ] παντι P **15** ὅτε] ὁτε P, ὃ R τὰ] *supplevi (ed.)*, *om.* P R κέκρυπται] κέκριται R **16** ὅτῳ] ὃ τῶ P, ὧι R

## *II²2610 / PMLᵇ cap. Σ 16, 14

Σχόλιον·

Συμβέβηκε τινὰ πρὸς τὴν προκειμένην τῷδε τῷ κεφαλαίῳ θεωρίαν ἐν τοῖς τῶν ἐνθέων ἡμῶν πατέρων χρόνοις ζήτησιν σὺν πολλαῖς ταῖς δεήσεσιν πρὸς τὸν πάντα ἐπιστάμενον ἐπὶ πλεῖστον περὶ τούτων γίνεσθαι. Τινὸς γὰρ οὐκ εὖ μὲν βεβιωκότος, λαμπρῶς δὲ προκομισθέντος κατὰ τὴν πόλιν, ἑτέρου δὲ ἀνὰ τὴν ἔρημον ἐναρέτως ἀσκήσαντος, καὶ ὑπὸ ὑαίνης ἐν τῷ οἰκείῳ δοματίῳ ἀναιρεθέντος, τῇ πλείστῃ περὶ τούτου ἱκεσίᾳ τῶν θεραπόντων αὐτοῦ ἐπικαμφθεὶς ὁ θεός, ηὐδόκησεν δι᾽ ἀγγέλου τὸ αἴτιον τῆς ἀκαταλλήλου ἀμφοτέρων διασαφῆσαι ἐξόδου, ὅτι ὁ μέν, διὰ μίαν καλλίστην ἐργασίαν, τὰ ἄλλα κακίστως βιώσας, τινὰ τῆς ἐξοδίας ἔτυχεν ἀντίληψιν, ὁ δὲ διὰ μίαν ἁμαρτίαν τοιούτῳ παρεωράθη τέλει, εἰς ἀπολύτρωσιν τῆς καταδικαζούσης ἁμαρτίας.

---

**3 – 14** Συμβέβηκε – ἁμαρτίας] cf. *Apophthegmata patrum*, Collectio systematica, XVIII, 41, 1–17 (ed. Guy†, XVII–XXI, p. 90–92); Anastas. Sin., *Quaestiones et responsiones*, 30, 18–37 (ed. Munitiz, p. 81–82 et addit. in app. crit.)

---

**3 – 14** ***II²2610** *Scholion in PMLᵇ cap. Σ 16*

---

**2 – 14** ***II²2610** P cap. Σ 16, 14 (320rA[mg]7–320rB15); R cap. Σ 17, 9; *deest in* M$^{(lac.)}$ Lᵇ E T$^{(lac.)}$ H$^{III}$

---

**6** γενέσθαι R  μὲν] *om.* R  **8** ὑαίνις P  **10** εὐδόκησε R  τὸ αἴτιον] *om.* R  **10 – 11** ἀκαταλλήλου] κατὰ τῶν R

## Τίτλος ιζʹ Περὶ συγκαταβάσεως καὶ συμπαθείας εἰς ἀλλήλους, ὅτι ὑπὲρ θυσίας τῷ φιλανθρώπῳ καὶ ἀνενδεεῖ θεῷ ἀρεστά.

### *II$^{2}$2611 / PML$^{b}$ cap. Σ 17, 1

Ὠσηὲ προφήτου·

Τὸ κρίμα μου ὡς φῶς ἐξελεύσεται, διότι ἔλεος θέλω καὶ οὐ θυσίαν.

### *II$^{2}$2612 / PML$^{b}$ cap. Σ 17, 2

Παροιμιῶν·

Ὁ σπλαγχνιζόμενος ἐλεηθήσεται.

### *II$^{2}$2613 / PML$^{b}$ cap. Σ 17, 3

Σοφίας Σολομῶντος·

Δεῖ τὸν δίκαιον εἶναι φιλάνθρωπον.

---

**5** ***II$^{2}$2611** Os. 6, 5–6 (Wahl, *Prophetenzitate*, p. 160–161) **8** ***II$^{2}$2612** Prov. 17, 5$^{3}$ (Wahl, *Proverbien-Text*, p. 85–86) **11** ***II$^{2}$2613** Sap. 12, 19$^{2}$

---

**1 – 2 Titlos** P (320rB16–19) $M^{pin}$ $L^{b\ pin}$ $E^{txt}$ $A^{III\ pin}$ R; *deest in* $M^{txt\ (lac.)}$ $L^{b\ txt}$ $E^{pin\ (lac.)}$ $T^{(lac.)}$ $H^{III}$$A^{III\ txt}$ **4 – 5** ***II$^{2}$2611** P cap. Σ 17, 1 (320rB[20]21–24); E cap. 219, 1; R cap. Σ 18, 1; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$ **7 – 8** ***II$^{2}$2612** P cap. Σ 17, 2 (320rB[25]26–27); E cap. 219, 2; R cap. Σ 18, 2; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$ **10 – 11** ***II$^{2}$2613** P cap. Σ 17, 3 (320rB[28]29–30); E cap. 219, 3; R cap. Σ 18, 3; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* P$M^{pin}$ $L^{b\ pin}$ $A^{III\ pin}$ $R^{pin}$ $E^{txt}$ ιζʹ] ιηʹ R, ριθʹ $E^{txt}$, *propt. mg. resect. non liquet in* $A^{III\ pin}$ *(ιʹ secund. ser.)* **1 – 2** καὶ – ἀρεστά] *om.* $M^{pin}$ **2** τῷ] *praem.* ὅτϊ $L^{b\ pin}$ ἀνενδεὲς $A^{III\ pin}$ ἀρεστὸν $P^{txt}$

---

***II$^{2}$2611** ωσηε P προφήτου] *om.* R ***II$^{2}$2613** (a) P E σοφία P (b) *s. a.* R

---

**5** κρῖμα μου $R^{a.\ c.}$ **8** πλαγχνιζομενος $P^{a.\ c.\ (sine\ acc.\ etiam\ p.\ c.)}$

## *II$^2$2614 / PML$^b$ cap. Σ 17, 4

Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου·

Ἐν ἐκείνῳ τῷ καιρῷ, ἐν ἑνὶ τῶν σαββάτων, ἐπορεύετο ὁ Ἰησοῦς διὰ τῶν σπορίμων· οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ ἤρξαντο τίλλειν τοὺς στάχυας καὶ ἐσθίειν. Ἰδόντες δὲ οἱ Φαρισαῖοι, λέγουσιν αὐτῷ· Ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστιν ἐν τοῖς σάββασιν ποιεῖν. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Εἰ ᾔδειτε τί ἐστιν *Ἔλεος θέλω καὶ οὐ θυσίαν*, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους. Κύριος γάρ ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ τοῦ σαββάτου.

## *II$^2$2615 / PML$^b$ cap. Σ 17, 5

Ἐκ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου·

Τῷ καιρῷ ἐκείνῳ νομικὸς τίς ἀνέστη, ἐκπειράζων τὸν κύριον, λέγων· Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; Ὁ δὲ εἶπεν αὐτῷ· Ἐν τῷ νόμῳ τί γέγραπται πῶς ἀναγινώσκεις; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὀρθῶς ἀπεκρίθης. Τοῦτο ποίει, καὶ ζήσῃ. Ὁ δὲ θέλων δικαιοῦν ἑαυτόν, εἶπεν· Καὶ τίς ἐστί μου πλησίον; Ὑπολαβὼν δὲ ὁ κύριος εἶπεν· Ἄνθρωπος τίς κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἰεριχώ, καὶ λησταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον

---

**7 – 8** Os. 6, 6 **15 – 17** Ἀγαπήσεις – σεαυτόν] cf. Lev. 19, 18

---

**3 – 7** ***II$^2$2614** Ἐν – Ἰησοῦς] Matth. 12, 1–3 **7 – 9** Εἰ – σαββάτου] Ibid. 12, 7–8 **12 – 1147, 13** ***II$^2$2615** Luc. 10, 25–37

---

**2 – 9** ***II$^2$2614** P cap. Σ 17, 4 (320rB[31]32–320vA16); R cap. Σ 18, 4; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **11 – 1147, 13** ***II$^2$2615** P cap. Σ 17, 5 (320vA[17]18–321rA19); R cap. Σ 18, 5; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2614** (a) P (b) Ματθαίου R ***II$^2$2615** λουκαν P Εὐαγγελίου] *om.* P

---

**5** τουστάχυας P **6** ἐν] *om.* P **7 – 8** ἔλεον R **12** νομικος τις P **12 – 13** λέγων] *praem.* καὶ R **14** γέγραπται πῶς] *nulla interpunctio in* P R **16** καὶ$^1$ – σου$^3$] *om.* P **17** ἑαυτὸν P **18** δικαιῶσαι P αὐτὸν P$^{a. c.}$, ἑαυτὸν P$^{p. c.}$ **19** τίς ἐστιν μου P **19 – 20** ἄνθρωπός τις R **20** Ἰεριχώ] *scripsi*, ἱεριχὼ R, ἐριχῶ P

ἀφέντες ἡμιθανῆ τυγχάνοντα. Κατὰ συγκυρίαν δὲ ἱερεὺς τίς κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν. Ὁμοίως δὲ καὶ Λευΐτης, γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν. Σαμαρείτης δέ τις ὁδεύων, ἦλθεν κατ᾽ αὐτόν, καὶ ἰδὼν αὐτὸν ἐσπλαγχνίσθη· καὶ προσελθὼν κατέδησεν τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ. Καὶ ἐπὶ τὴν αὔριον ἐκβαλὼν δύο δηνάρια, ἔδωκεν τῷ πανδοχεῖ, λέγων· Ἐπιμελήθητι αὐτοῦ, καὶ ὅτι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. Τίς οὖν τούτων τῶν τριῶν πλησίον δοκεῖ σοι γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ὁ ποιήσας τὸ ἔλεος μετ᾽ αὐτοῦ. Εἶπεν δὲ ὁ κύριος· Πορεύου καὶ σὺ ποίει ὁμοίως.

## *II²2616 / PMLᵇ cap. Σ 17, 6

Ἐκ τοῦ αὐτοῦ·

Εἶπεν ὁ πατὴρ πρὸς τὸν πρεσβύτερον αὐτοῦ υἱόν· Τέκνον, σὺ πάντοτε μετ᾽ ἐμοῦ εἶ, καὶ τὰ ἐμὰ πάντα, σά ἐστιν· εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησεν, ἀπολωλὼς ἦν καὶ εὑρέθη.

---

**16 – 19** ***II²2616** Εἶπεν – εὑρέθη] Luc. 15, 31–32 **16** πρὸς – υἱόν] Ibid. 15, 25

---

**15 – 19** ***II²2616** P cap. Σ 17, 6 (321rA[19]20–30); E cap. 219, 4; R cap. Σ 18, 6; *deest in* M$^{(lac.)}$ Lᵇ T$^{(lac.)}$ H$^{III}$

---

***II²2616** (a) P R Ἐκ] *om.* R (b) Εὐαγγελίου E

---

**1** τυγχάνοντα] *om.* P ἵερευς τις P **4** σαμαρίτης P **6** ἔλαιον] ἐλεον P **12** δὲ] *om.* P **18** καὶ χαρῆναι] *post* ἔδει *transpos.* P E ὁ – σου] *post* οὗτος *transpos.* P E **19** ἀπολωλὼς] *scripsi,* ἀπολωλὸς (-ος P) P E R ἦν] *om.* P E ηυρέθη P

## *II$^2$2617 / PML$^b$ cap. Σ 17, 7

Σχόλιον·

Οὐ διὰ ψιλῶν λόγων, ἀλλὰ δι’ ἐναργῶν πράξεων σωτήριον προγραμμὸν ἀληθῶς καὶ ἐμφανῶς ἑαυτὸν προτίθησιν ἡμῖν ὁ κύριος. Τίς γὰρ ἄλλος πατὴρ ἀγαθός, πατὴρ ἄμφω δικαίων τὲ καὶ ἁμαρτωλῶν; Ἢ τίς ἕτερος ἀνορθωτὴς τῶν κατεραγμένων, καὶ ἰητὴρ καὶ σωτὴρ τῶν κατατετρωμένων πλὴν αὐτοῦ, ὡς φησὶν διὰ τοῦ προφήτου ὅτι *Σώζων οὐκ ἔστιν πάρεξ ἐμοῦ*; Ἀγαπᾷ μὲν γὰρ δικαίους, προσίεται δὲ εὐμενῶς ἐπιστρέφοντας ἁμαρτωλούς, ἐπισπλαγχνίζεται δὲ καὶ ἐπὶ τοὺς ἀποπλανηθέντας τῆς ὑψηλοτάτης αὐτοῦ <καὶ> κεφαλαιώδους καὶ εὐθείας ὁδοῦ, καὶ ἐπὶ τὴν κάτω καὶ ληστοτρόφων βρίθουσαν ἐξωρμηκότας, καὶ ἀνέχεται *Σαμαρείτης* καὶ *τελωνῶν καὶ ἁμαρτωλῶν φίλος* ἀκοῦσαι παρὰ τῶν θεομάχων, ἵνα πάντας ὡς πάντων δεσπότης σώσειεν.

## *II$^2$2618 / PML$^b$ cap. Σ 17, 8

Ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς·

Ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. Ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθόν.

---

**6** ἀνορθωτὴς – κατεραγμένων] cf. Ephraem Syr., *Sermones paraenetici ad monachos Aegypti*, XLII (ed. Assemani, II, p. 161B) **8** Os. 13, 4 (cf. Is. 43, 11) **12 – 13** Σαμαρείτης] Ioh. 8, 48 **13** Matth. 11, 19

---

**3 – 14** ***II$^2$2617** *Scholion in Luc. 15, 31–32* **17 – 19** ***II$^2$2618** Rom. 15, 1–2

---

**2 – 14** ***II$^2$2617** P cap. Σ 17, 7 (321rA[mg]31–321rB34); R cap. Σ 18, 7; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **16 – 19** ***II$^2$2618** P cap. Σ 17, 8 (321rB[35]36–321vA7); E cap. 219, 5; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^2$2618** (a) P (b) Ἀποστόλου E

---

**3 – 4** πρόγραμμον P **4** καὶ – ἑαυτὸν] *om.* R **5** πατὴρ$^2$] *conieci*, προ̄ς *(=* πατρὸς*)* P, προ`` *(=* πρὸς*)* R **6** κατερραγμένων P$^{p.c.}$ ἰητὴρ] *scripsi*, ϊητηρ P, ἰατὴρ R **8** γὰρ] *om.* R **11** καὶ$^1$ – καὶ$^2$] *scripsi*, κεφαλαιώδους R, καὶ P **12** ληστοτρόφων] *scripsi*, ληστοτρόφον P R ἐξωρμηκότας] *scripsi*, ἐξορμηκότας P R **12 – 13** σαμαρίτης P **18 – 19** Ἕκαστος – ἀγαθόν] *om.* E **18** τῷ] *scripsi (NT)*, τὸν P

## *II$^{2}$2619 / PML$^{b}$ cap. Σ 17, 9

Καὶ μεθ᾽ ἕτερα·

Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ἡμᾶς εἰς δόξαν θεοῦ.

## *II$^{2}$2620 / PML$^{b}$ cap. Σ 17, 10

Πρὸς Γαλάτας·

Ἀδελφοί, ἐὰν προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληροῦτε τὸν νόμον τοῦ Χριστοῦ.

## *II$^{2}$2621 / PML$^{b}$ cap. Σ 17, 11

Πρὸς Ἐφεσίους·

Γίνεσθε εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν. Γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ, ὡς τέκνα ἀγαπητά, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ὑμᾶς, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας.

---

**13 – 14** Γίνεσθε – ὑμῖν] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 50.2./ 57.2. (ed. Ihm, p. 821)

---

**3 – 4** ***II$^{2}$2619** Rom. 15, 7 **7 – 10** ***II$^{2}$2620** Gal. 6, 1–2 **13 – 17** ***II$^{2}$2621** Eph. 4, 32 – 5, 2

---

**2 – 4** ***II$^{2}$2619** P cap. Σ 17, 9 (321vA[8]9–13); R cap. Σ 18, 8; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ **6 – 10** ***II$^{2}$2620** P cap. Σ 17, 10 (321vA[13]14–27); E cap. 219, 6; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **12 – 17** ***II$^{2}$2621** P cap. Σ 17, 11 (321vA[27]28–321vB7); E cap. 219, 7–8; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^{2}$2619** (a) P (b) Πρὸς Ῥωμαίους R ***II$^{2}$2620** (a) P (b) *s. a.* E ***II$^{2}$2621** (a) P (b) *s. a. / s. a.* E *(cf. infra, app. crit. text.)*

---

**3** προσλαμβάνεσθαι P **8** καταρτίζεται P E **9** σκοπῶν – πειρασθῇς] *om.* E **10** ἀναπληρώσατε E **13** γινεσθαι P **14 – 15** Γίνεσθε – καὶ$^{1}$] *om.* E, *ubi caesura post* ὑμῖν

## *II$^{2}$2622 / PML$^{b}$ cap. Σ 17, 12

Πρὸς Θεσσαλονικεῖς β′·

Ὑμεῖς, ἀδελφοί, μὴ ἐκκακεῖτε καλοποιοῦντες. Εἰ δέ τις οὐχ᾽ ὑπακούει τῷ λόγῳ διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ· καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν.

## *II$^{2}$2623 / PML$^{b}$ cap. Σ 17, 13

Ἐκ τῆς πρὸς Θεσσαλονικεῖς α′·

Παρακαλοῦμεν ὑμᾶς, ἀδελφοί· νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε εἰς πάντας, ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινὶ ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας.

## *II$^{2}$2624 / PML$^{b}$ cap. Σ 17, 14

Τοῦ Θεολόγου, περὶ φιλοπτωχίας·

Ἐπειδὴ *ἔλεον θέλει καὶ οὐ θυσίαν* ὁ πάντων δεσπότης, καὶ ὑπὲρ χιλιάδας *ἀρνῶν πιόνων* εὐσπλαγχνίαν, ταύτην εἰσφέρωμεν αὐτῷ διὰ τῶν δεομένων.

---

**15** Os. 6, 6 **16** Dan. 3, 39

---

**3 – 6** ***II$^{2}$2622** II Thess. 3, 13–15 **9 – 12** ***II$^{2}$2623** I Thess. 5, 14–15 **15 – 17** ***II$^{2}$2624** Gregorius Nazianzenus, *De pauperum amore (Orat. 14)*, 40 (PG 35, 909, 32–35)

---

**2 – 6** ***II$^{2}$2622** P cap. Σ 17, 12 (321vB[8]9–20); *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R **8 – 12** ***II$^{2}$2623** P cap. Σ 17, 13 (321vB[21]22–36); E cap. 219, 9; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **14 – 17** ***II$^{2}$2624** P cap. Σ 17, 14 (322rA[1]2–7); E cap. 219, 10; R cap. Σ 18, 9; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2623** (a) P (b) *s. a.* E ***II$^{2}$2624** (a) P R φιλοπτωχείας R (b) Θεολόγου E

---

**9 – 12** τοὺς – πάντας] *om.* E **16 – 17** ταύτην – δεομένων] *om.* P E

## *II²2625 / PML^b cap. Σ 17, 15

Ἐκ τοῦ αὐτοῦ·

Οὐκ ἔστιν ἀτιμώτερόν σοι τοῦ κτήνους ὁ ἄνθρωπος, ὦ ἄνθρωπε, ὃ πεσὸν εἰς βόθρον ἢ πλανηθὲν ἀνεγείρειν σοι καὶ ἐπανάγειν ὁ νόμος διακελεύεται, γυμνάζων ἡμᾶς ἀπὸ τῆς εἰς τὰ μικρὰ φιλανθρωπίας ἐπὶ τὴν τελεωτέραν καὶ μείζονα. Πόση γοῦν ὀφείλεται τοῖς ὁμοφύλοις καὶ ὁμοτίμοις ἡ μέχρι τῶν ἀλόγων ἀπαιτουμένη;

## *II²2626 / PML^b cap. Σ 17, 16

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ τῆς χαλάζης·

Χρηστοὺς εἶναι χρὴ τοῖς προεμπεσοῦσι, καὶ τῷ ἐλέῳ κτᾶσθαι τὸν ἔλεον.

---

**4 – 5** ὃ – διακελεύεται] cf. Deut. 22, 1–4

---

**3 – 5** ***II²2625** Οὐκ – διακελεύεται] Gregorius Nazianzenus, *De pauperum amore (Orat. 14)*, 28 (PG 35, 896, 24–27) **5 – 7** γυμνάζων – ἀπαιτουμένη] Ibid. (PG 35, 896, 32–36) **10 – 11** ***II²2626** Gregorius Nazianzenus, *De grandine, in patrem tacentem (Orat. 16)*, 19 (PG 35, 961, 21–22)

---

**2 – 7** ***II²2625** P cap. Σ 17, 15 (322rA[7]8–25); E cap. 219, 11; R cap. Σ 18, 10; *deest in* M^(lac.) L^b T^(lac.) H^III **9 – 11** ***II²2626** P cap. Σ 17, 16 (322rA[25]26–29); E cap. 219, 12; R cap. Σ 18, 11; *deest in* M^(lac.) L^b T^(lac.) H^III

---

***II²2625** (a) P R Ἐκ] *om.* R (b) *s. d.* E ***II²2626** (a) P R Τοῦ αὐτοῦ] *om.* P (b) *s. a.* E

---

**3** ἀτιμοτερον σοι P, ἀτιμότερόν σου R, ἀτιμότερός σοι E ὁ ἄνθρωπος] ἄνθρωπος R, ἀνθρώπους P **6** τελεοτεραν P πόσην P R ὀφείλετε R **7** μέχρι] *praem.* καὶ E **10** χρηστοῦ P χρη τοῖς προπεμπουσιν P, τοῖς προπέμπουσι χρή E ἐλέῳ] ελαιω P

# Στοιχεῖον Τ

$II^1$ / K cap. T 3

## Τίτλος α′ Περὶ τιμῆς, ὅτι χρὴ τιμητικοὺς ἡμᾶς εἶναι.

### *$II^2$2627 / $PML^b$ cap. T 1, 1

Λευϊτικοῦ·

Ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσῃ, καὶ τιμήσεις πρόσωπον ἐντίμου.

$II^1$2043 / K cap. T 3, 1

### *$II^2$2628 / $PML^b$ cap. T 1, 2

Ἰώβ·

Ἀσεβής, ὅς οὐκ ἠσχύνθη πρόσωπον ἐντίμου,
οὐδὲ οἶδεν τιμὴν θέσθαι τούτοις.

---

**9 – 10** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 19.-./5b. (ed. Ihm, p. 460)

---

**5 – 6** *$II^2$2627* Lev. 19, 32 **9** *$II^2$2628* Ἀσεβὴς] Iob 34, $18^1$ **9 – 10** ὅς – τούτοις] Ibid. 34, $19^{1-2}$

---

**1** **Stoicheion** $P^{txt}$ (332rB1) $M^{pin}$ $L^{b\,pin}$ $V^W$ $A^{III\,pin}$ R; *deest in* $P^{pin}$ $M^{txt\,(lac.)}$ $L^{b\,txt}$ E $T^{(lac.)}$ $H^{III}A^{III\,txt}$ **2** **Titlos** P (332rB2–3) $M^{pin}$ $L^{b\,pin}$ $V^W$ $E^{txt}$ R; *deest in* $M^{txt\,(lac.)}$ $L^{b\,txt}$ $E^{pin\,(lac.)}$ $T^{(lac.)}$ $H^{III}A^{III}$ **4 – 6** *$II^2$2627* P cap. T 1, 1 (332rB[3]4–7); $V^W$ cap. T 2, 1; E cap. 230, 1; R cap. T 2, 1; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ **8 – 10** *$II^2$2628* P cap. T 1, 2 (332rB[8]8–13); $V^W$ cap. T 2, 2; E cap. 230, 2; R cap. T 2, 2; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$

---

**1** Στοιχεῖον Τ] κεφάλαια τοῦ Τ $M^{pin}$, ἀρχὴ τοῦ Τ στοιχείου $L^{b\,pin}$ Τ] ταῦ $R^{pin}$, ταυ $V^{W\,txt}$, *add.* βϊβλῖον γ′ $A^{III\,pin}$ **2** Τίτλος] *om.* $PM^{pin}$ $L^{b\,pin}$ $V^{W\,pin}$ $E^{txt}$ $R^{pin}$ α′] β′ $V^W$ R, cλ′ $E^{txt}$ ὅτι – εἶναι] *om.* $M^{pin}$ ὅτι] *praem.* καὶ $V^{W\,pin}$ ἡμᾶς εἶναι] εἶναι ἡμᾶς $R^{txt}$, εἶναι $R^{pin}$

---

*$II^2$2628* ϊώβ P

---

**5** ἐξαναστήσει P $V^W$ **5 – 6** ἐντίμου] πρεσβυτέρου *LXX* **9** ἀσεβεῖς P αἰσχύνθη $V^W$, αισχυνθη P, ἐπηισχύνθη E **10** τούτωι E

## *II$^2$2629 / PML$^b$ cap. T 1, 3

Σιράχ·

Μὴ ἀτιμάσῃς ἄνθρωπον ἐν γήρει αὐτοῦ·
καὶ γὰρ ἐξ ἡμῶν γηράσκουσιν.

## *II$^2$2630 / PML$^b$ cap. T 1, 4

Τοῦ αὐτοῦ·

Μεγιστάνι ταπείνου τὴν κεφαλήν σου.

## *II$^2$2631 / PML$^b$ cap. T 1, 5 **II$^1$2045 / K cap. T 3, 3**

Πρὸς Ῥωμαίους·

…τῇ τιμῇ ἀλλήλους προηγούμενοι…

## *II$^2$2632 / PML$^b$ cap. T 1, 6

Φίλωνος, ἐκ τοῦ εἰς τὴν θείαν Δεκάλογον·

Τιμὴ τίς ἂν γένοιτο, μὴ προσούσης ἀληθείας, ἣ καὶ ὄνομα καὶ ἔργον ἔχει τίμιον;

---

**3 – 4** ***II$^2$2629** Sir. 8, 6$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 68) **7** ***II$^2$2630** Sir. 4, 7$^2$ (Wahl, *Sirach-Text*, p. 53) **10** ***II$^2$2631** Rom. 12, 10 **13 – 14** ***II$^2$2632** PHILO IUDAEUS, *De Decalogo*, 6 (ed. Cohn, p. 270, 11–12)

---

**2 – 4** ***II$^2$2629** P cap. T 1, 3 (332rB[13]14–17); V$^W$ cap. T 2, 3; E cap. 230, 3; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **6 – 7** ***II$^2$2630** P cap. T 1, 4 (332rB[17]18–19); V$^W$ cap. T 2, 4; E cap. 230, 4; R cap. T 2, 3; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **9 – 10** ***II$^2$2631** P cap. T 1, 5 (332rB[20]21–22); V$^W$ cap. T 2, 5; E cap. 230, 5; R cap. T 2, 4; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **12 – 14** ***II$^2$2632** P cap. T 1, 6 (332rB[23]24–28); V$^W$ cap. T 2, 6; E cap. 230, 6; R cap. T 2, 5; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2630** (a) P (b) Σιράχ R (c) *s. a.* E ***II$^2$2631** (a) P R (b) Ἀποστόλου V$^W$ E ***II$^2$2632** ἐκ – Δεκάλογον] *om.* V$^W$ E R

---

**3** γήρα E **7** μεγιστάνη R$^{a.c.}$, μεγιστανει P, μεγιστάνω V$^W$ ταπείνου] *sic acc.* V$^W$ E R *(cf.* *II$^2$754 / T cap. Γ 8, 8*)*, ταπεινοῦ P

## *II$^{2}$2633 / PML$^{b}$ cap. T 1, 7

Τοῦ αὐτοῦ·

Οὐκ ἐπὶ φιλίας ἐν ψυχῇ τὸ βέβαιον, συμβόλων φιλικῶν ἀμελητέον. Ταῦτα δέ ἐστι προσαγορεῦσαι, δεξιώσασθαι προσιόντας, ὑπαναστῆναι, τὸ ἱμάτιον ἀφελέσθαι τῆς κεφαλῆς, ἄχρι τῆς οἰκίας παραπέμψαι, δεομένῳ παραστῆναι. Σχήματα μὲν ταῦτα τιμῆς, σύμβολα δὲ καὶ πρόξενα ἀγάπης καὶ χάριτος.

---

**3 – 7** ***II$^{2}$2633** PHILO IUDAEUS, locus non repertus; Harris 77.1; Royse 177.64

---

**2 – 7** ***II$^{2}$2633** P cap. T 1, 7 (332rB[28]29–332vB8); V$^{W}$ cap. T 2, 7; E cap. 230, 7; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^{2}$2633** (a) P (b) *s. a.* V$^{W}$ E

---

**3** ἐπὶ] ἐπειδὴ E **4 – 5** δεξιώσασθαι – ὑπαναστῆναι] δεξιώσασθαι· προσιόντας ὑπαναστῆναι V$^{W}$ E, *nulla interpunctio in* P

## Τίτλος β′ Περὶ τάξεως καὶ καταστάσεως. **$II^1$ / K cap. T 6**

### *$II^2$2634 / $PML^b$ cap. T 2, 1

Ἀπὸ τοῦ Σιράχ·

Ἐν κρίσει τὰ ἔργα κυρίου ἀπ’ ἀρχῆς,
καὶ ἀπὸ ποιήσεως αὐτῶν διέστειλεν μερίδα αὐτῶν.
Ἐκόσμησεν εἰς αἰῶνα τὰ ἔργα αὐτοῦ
καὶ τὰς ἀρχὰς αὐτοῦ εἰς γενεὰς αὐτῶν·
οὔτε ἐπείνασαν, οὔτε ἐκοπίασαν,
καὶ οὐκ ἐξέλιπον ἀπὸ τῶν ἔργων αὐτῶν·
ἕκαστος τὸν πλησίον αὐτοῦ οὐκ ἔθλιψεν,
καὶ ἕως αἰῶνος οὐκ ἀπειθήσουσιν ῥημάτων αὐτοῦ.

### *$II^2$2635 / $PML^b$ cap. T 2, 2

Τοῦ αὐτοῦ·

Τὰ ἔργα κυρίου πάντα καλὰ σφόδρα,
καὶ πᾶν πρόσταγμα ἐν καιρῷ αὐτοῦ ἔσται.
Οὐκ ἔστιν εἰπεῖν· Τί τοῦτο; ἤ· Εἰς τί τοῦτο;
Πάντα γὰρ ἐν καιρῷ αὐτῶν ζητηθήσονται.

---

**4 – 11** ***$II^2$2634** Sir. 16, $26^1$–$28^2$ (Wahl, *Sirach-Text*, p. 90–91) **14 – 17** ***$II^2$2635** Sir. 39, $16^1$–$17^2$ (Wahl, *Sirach-Text*, p. 154)

---

**1 Titlos** P (332vA9–10) $M^{pin}$ $L^{b\,pin}$ $V^W$ $E^{txt}$ $A^{III\,pin}$ R; *deest in* $M^{txt\,(lac.)}$ $L^{b\,txt}$ $E^{pin\,(lac.)}$ $T^{(lac.)}$ $H^{III}A^{III\,txt}$ **3 – 11** ***$II^2$2634** P cap. T 2, 1 (332vA[10]11–28); $V^W$ cap. T 3, 1; E cap. 231, 1; R cap. T 3, 1; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$ **13 – 17** ***$II^2$2635** P cap. T 2, 2 (332vA29–332vB1); $V^W$ cap. T 3, 2; E cap. 231, 2; R cap. T 3, 2; *deest in* $M^{(lac.)}$ $L^b$ $T^{(lac.)}$ $H^{III}$

---

**1** Τίτλος] *om.* $PM^{pin}$ $L^{b\,pin}$ $V^{W\,pin}$ $E^{txt}$ $A^{III\,pin}$ $R^{pin}$ β′] γ′ $V^W$ $A^{III\,pin}$ R, ϲλα′ $E^{txt}$ τάξεων $V^{W\,pin}$ καὶ καταστάσεως] *om.* $M^{pin}$

---

***$II^2$2634** (a) R (b) Τοῦ Σιράχ P (c) Σιράχ $V^W$ E ***$II^2$2635** (a) R (b) *s. a.* P $V^W$ E

---

**5** καὶ – αὐτῶν²] *om.* E αὐτῶν²] αὐτοῦ P $V^W$ **9** ἐξέλειπον P **10** αὐτοῦ] *iterav.* P, *sed expunx.* **11** αὐτῶν $V^W$ **16** Οὐκ] *praem.* καὶ $V^W$ **17** ζητηθήσεται P $V^W$ E

## *II$^2$2636 / PML$^b$ cap. T 2, 3

Πρὸς Κορινθίους α′·

Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

## *II$^2$2637 / PML$^b$ cap. T 2, 4

Πρὸς Κορινθίους β′·

Ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. Καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Μὴ πάντες ἀπόστολοι; Μὴ πάντες προφῆται; Μὴ πάντες διδάσκαλοι; Μὴ πάντες δυνάμεις; Μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; Μὴ πάντες γλώσσαις λαλοῦσιν; Μὴ πάντες διερμηνεύουσιν;

## *II$^2$2638 / PML$^b$ cap. T 2, 5

Ἐκ τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς·

Ὁ κύριος ἔδωκεν τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ.

---

**3** ***II$^2$2636** I Cor. 14, 40 **6 – 12** ***II$^2$2637** I Cor. 12, 27–30 **15 – 18** ***II$^2$2638** Eph. 4, 11–12

---

**2 – 3** ***II$^2$2636** P cap. T 2, 3 (332vB[1]2–4); V$^W$ cap. T 3, 3; E cap. 231, 3; R cap. T 3, 3; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **5 – 12** ***II$^2$2637** P cap. T 2, 4 (332vB[4]5–27); V$^W$ cap. T 3, 4; R cap. T 3, 4; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **14 – 18** ***II$^2$2638** P cap. T 2, 5 (332vB[28]29–333rA3); V$^W$ cap. T 3, 5; R cap. T 3, 5; *deest in* M$^{(lac.)}$ L$^b$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2636** (a) P R (b) Ἀποστόλου V$^W$ E ***II$^2$2637** (a) P R β′] *non liquet in* P (b) Τοῦ αὐτοῦ V$^W$ ***II$^2$2638** (a) P R ἐπιστολῆς] *om.* P (b) Τοῦ αὐτοῦ V$^W$

---

**9** ἀντιληψις P$^{a.\,c.}$, ἀντιλίψεις V$^W$ **15** τοὺς$^3$] *praem.* καὶ R

## *Π$^{2}$2639 / PML$^{b}$ cap. T 2, 6

Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐκ τῆς πρὸς Δημόφιλον ἐπιστολῆς·

Τί ἄτοπον Ὀζίας ἐποίει, θυμιῶν τῷ θεῷ; Τί δὲ Σαοὺλ θύων; Τί δὲ οἱ τυραννικοὶ δαίμονες, ἀληθῶς θεολογοῦντες τὸν Ἰησοῦν; Ἀλλ' ἐκκήρυκτος τῇ θεολογίᾳ πᾶς ἀλλοτριεπίσκοπος, καὶ ἕκαστος ἐν τῇ τάξει τῆς λειτουργίας αὐτοῦ ἔσται. Καὶ ὠργίσθη κύριος ἐπὶ τῇ προπετείᾳ Ὀζίου, καὶ Μαριὰμ λεπροῦται, τῷ Νομοθέτῃ θεσμοθετεῖν ἐπιχειρήσασα· καὶ ἐπὶ τοὺ<ς> Σκευᾶ υἱοὺς ἐφήλατο τὰ δαιμόνια, καὶ ἁπλῶς εἰπεῖν, οὐκ ἀνέχεται τῶν παρανόμων ἡ παντελὴς τοῦ θεοῦ δικαιοσύνη. Ὥστε οὐ θεμιτόν, ὡς τὰ ἱερὰ λόγια φησίν, οὐδὲ *τὰ δίκαια* μὴ κατ' ἀξίαν *διώκειν*. Προσέχειν δὲ ἕκαστον ἑαυτῷ χρή, καὶ μὴ τὰ ὑψηλότερα ἐννοεῖν, διανοεῖσθαι δὲ μόνον τὰ κατ' ἀξίαν αὐτῷ προστεταγμένα. Οὐ θεμιτὸν γὰρ ἱερέα πρὸς τῶν λειτουργῶν εὐθύνεσθαι, κἂν ἀσεβεῖν εἰς τὰ θεῖα δοκῇ, κἂν ἄλλό τι τῶν ἀπειρημένων ἐξελέγχοιτο δράσας. Ἡ γὰρ ἀκοσμία καὶ ἀταξία τῶν θειοτάτων καὶ ὅρων καὶ θεσμῶν ἐστιν ἔκβασις· οὐ γὰρ ἔχει λόγον ὑπὲρ θεοῦ τὴν θεοπαράδοτον ἀνατρέπεσθαι τάξιν. Οὐ γὰρ *ἐφ' ἑαυτὸν* ὁ θεὸς *ἐμερίσθη· πῶς* γὰρ *σταθήσεται ἡ βασιλεία αὐτοῦ*; Καὶ εἰ *τοῦ θεοῦ*, ὡς τὰ λόγια φησίν, *ἔστιν ἡ κρίσις*, οἱ δὲ ἱερεῖς ἄγγελοι καὶ ὑποφῆται μετὰ τοὺς ἱεράρχας εἰσὶ

---

**4** Τί$^{1}$ – θεῷ] cf. II Par. 26, 16  Τί$^{2}$ – θύων] cf. I Reg. 13, 9  **4 – 5** Τί$^{3}$ – Ἰησοῦν] cf. Matth. 8, 28–29; Marc. 1, 23–24; 3, 11; 5, 2 et 7; Luc. 8, 27–28  **6** ἀλλοτριεπίσκοπος] cf. I Petr. 4, 15  **7 – 8** ὠργίσθη – Ὀζίου] cf. II Par. 26, 19–21  **8 – 9** Μαριὰμ – ἐπιχειρήσασα] cf. Num. 12, 1–10  **9 – 10** ἐπὶ – δαιμόνια] cf. Act. 19, 13–16  **12** Deut. 16, 20  **19 – 20** Matth. 12, 26; Luc. 11, 18  **20 – 21** Deut. 1, 17

---

**4 – 7** ***Π$^{2}$2639** Τί$^{1}$ – ἔσται] Ps.-Dionysius Areopagita, *Epistulae*, 8, 1 (ed. Ritter, p. 178, 8–12)  **7 – 10** Καὶ – δαιμόνια] Ibid. (p. 179, 2–4)  **10 – 11** καὶ – δικαιοσύνη] Ibid. (p. 179, 7–8)  **11 – 14** Ὥστε – προστεταγμένα] Ibid. (p. 179, 11 – 180, 3)  **14 – 1158, 1** Οὐ – κριμάτων] Ibid. (p. 175, 14 – 176, 6)

---

**2 – 1158, 14** ***Π$^{2}$2639** P cap. T 2, 6 (333rA[4–5]6–333vB4); $V^{W}$ cap. T 3, 6; E cap. 231, 4; *deest in* $M^{(lac.)}$ $L^{b}$ $T^{(lac.)}$ $H^{III}$ R

---

***Π$^{2}$2639** (a) P αρεοπαγητου *cod.* δημοφιλον *cod.* (b) Διονυσίου $V^{W}$ (c) *s. a.* E

---

**4 – 1158, 13** Τί$^{1}$ – ἀλλ'] *om.* E  **4** οζια $P^{a.c.}$, οζιας $P^{p.c.}$  **7** ὀργίσθη P $V^{W}$  **8** όζειου P  μαριαμ P  **9** τοὺς Σκευᾶ] *scripsi*, τουσκευᾶ P, τοῦ σκευᾶ $V^{W}$  ἐφήλλατο $V^{W\,p.c.}$  **13** ἑαυτον P  **16** ἀπειρημένων] ἀνηρημένων $V^{W}$  **17** θεσμῶν ἔστιν $V^{W}$  **19 – 1158, 14** Οὐ – ἔστω] *om.* $V^{W}$  **21** ὑποφῆται] *scripsi (ed.)*, οἱπροφῆται P

τῶν θείων κριμάτων, οἱ ὑπὸ θεοῦ ταχθέντες ἄλλων ἐπάρχειν ἀπονέμουσι μεθ’ ἑαυτοὺς τοῖς ὑπηκόοις τὰ κατ’ ἀξίαν. Ἡ γὰρ θεολογία, ὡς εἴρηται, *δικαίως τὰ δίκαια* κελεύει *μεταδιώκειν· δίκαια* δέ ἐστι *μεταδιώκειν*, ὅταν ἀπονέμειν ἐθέλοι τίς ἑκάστῳ τὰ κατ’ ἀξίαν, δικαίως τοῦτο καὶ μὴ ἀδίκως πράττειν, οὐ παρὰ τὴν ἑαυτοῦ ἀξίαν ἢ τάξιν, ἐπεὶ καὶ ἀγγέλοις δίκαιον ἀφορίζεσθαι τὰ κατ’ ἀξίαν, καὶ ἀφορίζεται, πλὴν οὐ πρὸς ἡμῶν, δι’ αὐτῶν δὲ ἡμῖν ἐκ θεοῦ, καὶ αὐτοῖς <διὰ τῶν> ἔτι προὐχόντων ἀγγέλων. Καὶ ἁπλῶς εἰπεῖν, ἐν πᾶσι τοῖς οὖσι διὰ τῶν πρώτων τοῖς δευτέροις ἀπονέμεται τὰ κατ’ ἀξίαν ὑπὸ τῆς πάντων εὐτάκτου καὶ δικαιοτάτης προνοίας. Ἐπαρχέτω τοίνυν τῶν ὑφειμένων ὁ ὑπερκείμενος λόγος. Καὶ εἴ που τίς τοῦ προ<σ>ήκοντος ἀπο<σ>φαλείη, παρὰ τῶν ὁμοταγῶν ἁγίων ἐπανορθούσθω, καὶ οὐ περιστραφήσεται τάξις ἐπὶ τάξιν, ἀλλ’ ἕκαστος ἐν τῇ τάξει αὐτοῦ καὶ ἐν τῇ λειτουργίᾳ αὐτοῦ ἔστω.

## *II$^{2}$2640 / PML$^{b}$ cap. T 2, 7

Τοῦ Θεολόγου, ἐκ τοῦ εἰς τὸν ἐξισωτήν·

Τὰ πρόβατα, μὴ ποιμαίνετε τοὺς ποιμένας, μὴ δὲ τοὺς ὑπὲρ <ἑ>αυτῶν ὅρους ἐπαίρεσθε· ἀρκεῖ γὰρ ὑμῖν τὸ καλῶς ποιμαίνεσθαι. Μὴ κρίνητε τοὺς κριτάς, μὴ δὲ νομοθετεῖτε τοὺς νομοθέτας· *οὐ γάρ ἐστιν ὁ θεὸς ἀκαταστασίας, ἀλλ’ εἰρήνης*. Μὴ τοίνυν ἔστω τίς

---

**3** Deut. 16, 20 **19 – 20** I Cor. 14, 33

---

**1 – 2** οἱ – ἀξίαν] Ps.-Dionysius Areopagita, *Epistulae*, 8, 3 (ed. Ritter, p. 182, 5–6) **2 – 10** Ἡ – προνοίας] Ibid. (p. 181, 10 – 182, 5) **10 – 11** Ἐπαρχέτω – λόγος] Ibid. (p. 182, 8) **11 – 14** Καὶ – ἔστω] Ibid., 8, 4 (p. 183, 13 – 184, 1) **17 – 1159, 5** ***II$^{2}$2640** Gregorius Nazianzenus, *Ad Iulianum tributorum exaequatorem (Orat. 19)*, 10 (PG 35, 1053, 27–37)

---

**16 – 1159, 5** ***II$^{2}$2640** P cap. T 2, 7 (333vB[5]6–33); V$^{W}$ cap. T 3, 7; E cap. 231, 5; R cap. T 3, 6; *deest in* M$^{(lac.)}$ L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2640** (a) P R ἐκ – ἐξισωτήν] *om.* R (b) Θεολόγου V$^{W}$ E

---

**8** διὰ τῶν] *supplevi (ed.)*, *om.* P **12** προσήκοντος] *correxi (ed.)*, προήκοντος P ἀποσφαλείη] *correxi (ed.)*, ἀποφαλείη P **17 – 20** Τὰ – εἰρήνης] *om.* E **17 – 18** τοὺς$^{2}$ – ἑαυτῶν] *scripsi*, τοὺς ὑπὲρ αὐτῶν P V$^{W}$ R, ὑπὲρ τοὺς ἑαυτῶν *ed.* **18** ἐπέρεσθαι P, ἐπαίρεσθαι V$^{W}$ **19** κρίνετε V$^{W}$ τοῖς νομοθέταις *ed.*

κεφαλή, μόγις που χεὶρ τυγχάνων ἢ ποὺς ἢ ἄλλό τι τῶν εὐτελεστέρων μερῶν τοῦ σώματος· ἀλλ' *<ἕκαστος> ἐν ᾗ ἐκλήθη* τάξει, ἀδελφοί, *ἐν ταύτῃ μενέτω*, κἂν ᾖ τῆς κρείττονος ἄξιος· ἐν ᾧ στέργει τὴν παροῦσαν, πλέον εὐδοκιμῶν ἢ ἐν τῷ ζητεῖν ἣν οὐκ ἔλαβεν.

## *II$^{2}$2641 / PML$^{b}$ cap. T 2, 8

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ εὐταξίας·

Καθάπερ ἐν σώματι τὸ μέν τι ἄρχον ἐστὶ καὶ οἷον προκαθεζόμενον, τὸ δέ, ἀρχόμενον καὶ ἀγόμενον, οὕτω καὶ ταῖς ἐκκλησίαις διέταξεν ὁ θεός, ἰσότητος νόμῳ τῆς ἐχούσης τὸ κατ' ἀξίαν καὶ προνοίας, ᾗ τὰ πάντα συνέδησε, τοὺς μὲν ποιμαίνεσθαί τε καὶ ἄρχεσθαι, ὅσοις τοῦτο λυσιτελέστερον, καὶ λόγῳ καὶ ἔργῳ πρὸς τὸ δέον ἰθυνομένους, *τοὺς δὲ* εἶναι *ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν* τῆς ἐκκλησίας, ὅσοι τῶν πολλῶν εἰσὶν ἀνωτέρω κατ' ἀρετὴν καὶ τὴν πρὸς θεὸν οἰκείωσιν, λόγον ψυχῆς πρὸς σῶμα ἢ νοῦ πρὸς ψυχὴν ἐπέχοντες, ἵνα ἀμφότερα συντεθέντα ἀλλήλοις καὶ συγκραθέντα, τό τε ὑστεροῦν καὶ τὸ πλεονάζον, ὥσπερ ἐν μέλεσι, καὶ τῇ ἁρμονίᾳ τοῦ πνεύματος συμβιβασθέντα καὶ συνδεθέντα, ἓν ἄρτιον ἀποδειχθῇ σῶμα, καὶ αὐτοῦ Χριστοῦ τῆς κεφαλῆς ἡμῶν ἄξιον.

---

**2 – 3** Ibid. 7, 20 et 24 **13 – 14** τοὺς – καταρτισμὸν] Eph. 4, 11–12 **16 – 19** ἵνα – σῶμα] cf. ibid. 4, 16 **19** αὐτοῦ – κεφαλῆς] cf. ibid. 4, 15

---

**8 – 20** ***II$^{2}$2641** GREGORIUS NAZIANZENUS, re vera *Apologetica (Orat. 2)*, 3, 4–17 (ed. Bernardi, p. 88–90)

---

**7 – 20** ***II$^{2}$2641** P cap. T 2, 8 (333vB[33]34–334rB4); V$^{W}$ cap. T 3, 8; R cap. T 3, 7; *deest in* M$^{(lac.)}$ L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2641** ἐκ – εὐταξίας] *om.* V$^{W}$ R

---

**1** μόλις που *(*ποῦ P*)* P V$^{W}$ E **2** ἀλλ' ἕκαστος] *scripsi (ed.)*, ἀλλ' E, *om.* P V$^{W}$ R ἐκλιθη P, ἐκλήθητε R **3** μένετε R **3 – 5** κἂν – ἔλαβεν] *om.* E **3** τῆς] τίς R **3 – 4** στέργει] *scripsi (ed.)*, στέργειν P V$^{W}$ R **8** μὲν τί V$^{W}$, μέν τοι R **11** ᾗ] *scripsi (ed.)*, ἣ V$^{W\ e\ corr.}$ R, ἡ P **16** νοῦ] *sic* V$^{W\ p.\ c.}$, νοῦν P V$^{W\ a.\ c.}$ R ἐπέχοντος *(-ος e corr.)* V$^{W}$, ἐπέχοντας *ed.* ἵν' ἀμφότερα V$^{W\ p.\ c.}$ **17** συνκραθέντα P καὶ$^{2}$] *om.* P V$^{W}$ **18** συμβϊασθέντα R **19** ἓν ἄρτιον] ἐνάρτιον P V$^{W\ a.\ c.}$

**II$^1$2066 / K cap. T 6, 2**

## *II$^2$2642 / PML$^b$ cap. T 2, 9

Ἐκ τοῦ αὐτοῦ·

Τάξις τὸ πᾶν συνεστήσατο. Τάξις συνέχει καὶ τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια. Τάξις ἐν νοητοῖς, τάξις ἐν αἰσθητοῖς πᾶσι· *Πρόσταγμα* γάρ φησιν, *ἔθετο, καὶ οὐ παρελεύσεται.* Καὶ τάξεως μὲν ἐπικρατούσης, κόσμος τὸ πᾶν καὶ τὸ κάλλος ἀκίνητον. Τάξις μήτηρ ἐστὶ τῶν ὄντων καὶ ἀσφάλεια.

## *II$^2$2643 / PML$^b$ cap. T 2, 10

Ἐκ τοῦ αὐτοῦ·

Αἰδώμεθα τὴν τάξιν, ἀδελφοί, καὶ φυλάξωμεν. Καὶ ὁ μὲν τίς ἔστω ἀκοή, ὁ δέ, γλῶττα, ὁ δέ, χείρ, ὁ δέ, ἄλλό τι τούτων· ὁ δὲ *ἐργαζέσθω τὸ ἀγαθόν*, ὁ δὲ ἀρχέτω καὶ προβεβλήσθω, ὁ δὲ διδασκέτω καὶ μανθανέτω.

---

**4 – 5** Ps. 148, 6$^2$ **11 – 12** Eph. 4, 28

---

**3 – 4** ***II$^2$2642** Τάξις$^1$ – πᾶσι] Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, 8, 1–3 (ed. Moreschini, p. 100) **4 – 5** Πρόσταγμα – παρελεύσεται] Ibid., 8, 19 (p. 102) **5 – 6** Καὶ – ἀκίνητον] Ibid., 8, 21–22 (p. 102) **6 – 7** Τάξις – ἀσφάλεια] Ibid., 10, 1–2 (p. 104) **10 – 13** ***II$^2$2643** Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, 12, 1–6 (ed. Moreschini, p. 110)

---

**2 – 7** ***II$^2$2642** P cap. T 2, 9 (334rB[4]5–20); V$^W$ cap. T 3, 9; E cap. 231, 6–7; R cap. T 3, 8; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$ **9 – 13** ***II$^2$2643** P cap. T 2, 10 (334rB[20]21–31); V$^W$ cap. T 3, 10; E cap. 231, 8; R cap. T 3, 9; *deest in* M$^{(lac.)}$ L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2642** (a) P V$^W$ R Ἐκ] *om.* P V$^W$ (b) *s. a. / s. a.* E *(cf. infra, app. crit. text.)*
***II$^2$2643** (a) P R Ἐκ] *om.* P (b) *s. a.* V$^W$ E

---

**5 – 6** Καὶ – ἀκίνητον] *om.* E, *ubi caesura post* παρελεύσεται **5** μὲν] *om.* P V$^W$ **10** καὶ] *s. l.* V$^W$ φυλάξομεν P, φυλάττωμεν E μέν τις R **11 – 13** ὁ$^4$ – μανθανέτω] *om.* E **11** δὲ] μὲν R **12** ἀρχέσθω R

## *II$^2$2644 / PML$^b$ cap. T 2, 11

Φίλωνος, ἐκ τοῦ περὶ ἄθλων καὶ ἐπιτιμιῶν·

Εἶδεν Ἰσραὴλ τοὺς Αἰγυπτίους τεθνηκότας παρὰ τὸ χεῖλος τῆς θαλάσσης, καὶ εἶδεν Ἰσραὴλ τὴν χεῖρα τὴν μεγάλην, ἃ ἐποίησεν κύριος τοῖς Αἰγυπτίοις, καὶ ἐφοβήθη ὁ λαὸς τὸν κύριον, καὶ ἐπίστευσαν τῷ θεῷ καὶ Μωϋσεῖ τῷ θεράποντι αὐτοῦ. Τότε ἦσεν Μωϋσῆς καὶ οἱ υἱοὶ Ἰσραὴλ τὴν ᾠδὴν ταύτην τῷ κυρίῳ, καὶ εἶπαν· Ἄσωμεν τῷ κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

---

**5 – 10** ***II$^2$2833** Ex. 4, 29–31 **13 – 18** ***II$^2$2834** Ex. 14, 30 – 15, 1

---

**4 – 10** ***II$^2$2833** P cap. X 3, 3 (368vB[27]27–369rA2); M cap. X 3, 3; V$^W$ cap. X 3, 3; R cap. X 3, 3; *deest in* L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **12 – 18** ***II$^2$2834** P cap. X 3, 4 (369rA[2]3–19); M cap. X 3, 4; V$^W$ cap. X 3, 4; R cap. X 3, 4; *deest in* L$^b$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2833** (a) M R (b) Ἐξόδου P V$^W$

---

**1** ὁ – Ἰωσὴφ] *post* ζῇ *transpos.* V$^W$ ἴωσηφ PM **5** μωϋσῆς V$^W$, μωσῆς M αρῶν P, ααρὼν M **6** ἀαρῶν P, ααρων M **7** μωϋσην PM, μω σῆν *(littera -ϋ- erasa)* V$^W$ **8** Καὶ – λαὸς] *om.* M ὁ λαὸς] *praem.* πᾶς R **8 – 9** τοῖς υἱοῖς R **9** ἴδεν P, ἴδεν V$^W$ κύμψας M **13** ἴδεν V$^W$, ιδεν P **14** ἴδεν V$^W$, ἴδεν P χειραν M **15** αιγυπτιοις M, ἐγυπτιοις P ὁ λαὸς] ἰσραὴλ R **16** μωϋσῆ P, μωϋση M, μω σῆ *(littera -ϋ- erasa)* V$^W$ **16 – 17** μωϋσης M, μω σῆς *(littera -ϋ- erasa)* V$^W$ **17** οἱ] *om.* P V$^W$

## *II$^{2}$2835 / PML$^{b}$ cap. X 3, 5

Βασιλειῶν β′·

Ἐπορεύθη Δαυῒδ καὶ ἀνήγαγεν τὴν κιβωτὸν κυρίου εἰς τὴν πόλιν Δαυῒδ ἐν εὐφροσύνῃ. Καὶ ἦσαν μετ᾽ αὐτοῦ αἴροντες τὴν κιβωτὸν κυρίου ἑπτὰ χοροί. Καὶ Δαυῒδ ἀνεκρούετο ἐν ὀργάνοις ἡρμοσμένοις ἐνώπιον κυρίου, καὶ Δαυῒδ ἐνδεδυκὼς στολὴν ἔξαλλον. Καὶ Δαυῒδ καὶ πᾶς οἶκος Ἰσραὴλ ἀνήγαγον τὴν κιβωτὸν κυρίου μετὰ κραυγῆς καὶ μετὰ φωνῆς σάλπιγγος. Καὶ ἀνήγαγεν Δαυῒδ ὁλοκαυτώματα ἐνώπιον κυρίου καὶ εἰρηνικάς, καὶ εὐλόγησεν τὸν λαὸν ἐν ὀνόματι κυρίου τῶν δυνάμεων. Καὶ διεμέρισεν παντὶ τῷ λαῷ εἰς πᾶσαν τὴν δύναμιν τοῦ Ἰσραὴλ ἀπὸ Δὰν ἕως Βηρσαβεέ, ἀπὸ ἀνδρὸς ἕως γυναικός, ἑκάστῳ κολλυρίδα ἄρτου καὶ λάγανον ἀπὸ τηγάνου καὶ ἐσχαρίτην· καὶ ἀπῆλθεν ὁ λαὸς ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.

## *II$^{2}$2836 / PML$^{b}$ cap. X 3, 6

Παροιμιῶν·

Καρδίας εὐφραινομένης, πρόσωπον θάλλει.

---

**3 – 8** ***II$^{2}$2835** Ἐπορεύθη – σάλπιγγος] II Reg. 6, 12–15 (deest apud Wahl, *2 Samuel-Text*) **8 – 14** Καὶ – αὐτοῦ] Ibid. 6, 17–19 (paucis omissis; deest apud Wahl) **17** ***II$^{2}$2836** Prov. 15, 13$^{1}$ (Wahl, *Proverbien-Text*, p. 76)

---

**2 – 14** ***II$^{2}$2835** P cap. X 3, 5 (369rA[20]21–369rB19); V$^{W}$ cap. X 3, 5; E cap. 265, 2; *deest in* ML$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **16 – 17** ***II$^{2}$2836** P cap. X 3, 6 (369rB[19]20–21); M cap. X 3, 5; V$^{W}$ cap. X 3, 6; E cap. 265, 3; R cap. X 3, 5; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2835** β′] *om.* V$^{W}$ ***II$^{2}$2836** (a) P E R (b) Τῶν Παροιμιῶν M

---

**5 – 6** ἡρμοσμένοις] ἡρμωσμένος V$^{W\ a.\ c.}$, ἡρμωσμένοις V$^{W\ p.\ c.}$, ἡρμοσμένως E **6** ἐνδεδυκῶς P$^{a.\ c.}$, ἐνδεδυσκῶς *(littera -σ- s. l. addita)* P$^{p.\ c.}$, ἐνδεδυσικὼς *(-ῶς a. c.)* V$^{W}$, ἐνδεδυμένος E **9 – 10** καὶ$^{1}$ – κυρίου] *om.* V$^{W\ a.\ c.}$ **10 – 14** Καὶ – αὐτοῦ] *om.* E **11** δαν P βηρσαβεε P, βιρσαβεὲ V$^{W\ a.\ c.}$, βιρσαβεέ V$^{W\ p.\ c.}$ **17** θάλλει] *add.* ἐν δε λυπαῖς οὔσαις *(sic)* σκυθρωπάζει *(= Prov. 15, 13$^{2}$)* M

## *II²2837 / PMLᵇ cap. X 3, 7

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ εὐχαριστίας·

Ἡ χαρὰ οἷόν τι σκίρτημά ἐστιν τῆς ψυχῆς, ἐπαγαλλομένης τοῖς κατὰ γνώμην. Ὅθεν τοῖς φαιδρυνομένοις ἐξανθοῦσα καὶ ὑπέρυθρος ἡ τοῦ σώματος ἕξις, μονονουχὶ πηδώσης τῆς ψυχῆς καὶ προωθουμένης ὑφ᾽ ἡδονῆς πρὸς τὰ ἔξω.

## *II²2838 / PMLᵇ cap. X 3, 8

Φίλωνος, ἐκ τοῦ περὶ τῶν μετονομαζομένων·

Ἡ χαρὰ εὐπάθεια ψυχῆς ἐστιν· οὐ γὰρ ὅταν παροῦσα δραστηρίως ἐνεργῇ μόνον, [καὶ] εὐφραίνει, ἀλλὰ καὶ ὅταν ἐλπίζηται, προγανοῖ· ἐξαίρετον γὰρ καὶ τοῦτο ἔχει, καὶ ἴδιον καὶ κοινὸν ἀγαθόν ἐστιν, ὥστε κυρίως εἰπεῖν, μηδὲν εἶναι ἀγαθόν, ᾧ μὴ πρόσεστι χαρά.

---

**3 – 4** ***II²2837** Ἡ – Ὅθεν] Basilius Caesariensis, *Homilia de gratiarum actione*, 4 (PG 31, 225, 26–27) **4 – 6** τοῖς – ἔξω] Ibid. (PG 31, 225, 30–32) **9 – 12** ***II²2838** Ἡ – ἐστιν] Philo Iudaeus, re vera *Legum allegoriae*, III, 86 (ed. Cohn, p. 132, 6–9) **12 – 13** ὥστε – χαρά] Ibid. (p. 132, 11–12)

---

**2 – 6** ***II²2837** P cap. X 3, 7 (369rB[22]23–34); M cap. X 3, 6; $V^W$ cap. X 3, 7; E cap. 265, 4; R cap. X 3, 6; *deest in* $L^b$ $T^{(lac.)}$ $H^{III}$ **8 – 13** ***II²2838** P cap. X 3, 8 (369rB[35]36–369vA11); M cap. X 3, 7; $V^W$ cap. X 3, 8; E cap. 265, 5–6; R cap. X 3, 7; *deest in* $L^b$ $T^{(lac.)}$ $H^{III}$

---

***II²2837** (a) PM R βασιλειου PM ἐκ τοῦ] *om.* PM (b) Βασιλείου $V^W$ E ***II²2838** (a) PM R φιλωνος M ἐκ τοῦ] *om.* M μετανομαζομενων M (b) Φίλωνος $V^W$ (c) Φίλωνος / *s. a.* E *(cf. infra, app. crit. text.)*

---

**3** οἶόντι $V^W$, οἶοντι M, οιοντι P, οἱονεὶ R σκίρτημα ἐστίν M τῆς] *om.* E ἐπαγγαλλόμενοις M, ἐπαγγέλλομένης *(-γε- E)* P E, ἐπαγγελλομένο *(sic)* $V^{W\,a.\,c.}$, ἐπαγγελλομένη $V^{W\,p.\,c.}$ **5** ἕξις] φύσις E μονονουχὶ] *praem.* καὶ R **5 – 6** προσωθουμένης E, προθουμένης M **6** πρὸς] ἐπι M **9** ψυχῆς ἐστίν M **9 – 12** οὐ – εἰπεῖν] *om.* E, *ubi caesura post* ἐστιν **9** δρατηριως $P^{a.\,c.}$, δραστηριως $P^{p.\,c.}$, δραστηριους M **10** ἐνεργεῖ PM $V^W$ καὶ¹] *delevi (ed.)* **10 – 11** προγανοῖ] προγαλινοῖ R **11** γὰρ] δὲ M **11 – 12** ἀγαθὸν ἔστιν P **12** μηδὲν] οὐδὲν E R εἶναι] *om.* E ᾧ] ὃ P R πρόεστι $V^{W\,a.\,c.}$, πρόσὲσται M **13** χαρᾶ P R

# Στοιχεῖον Ψ

## Τίτλος α′ Περὶ ψυχῆς καὶ νοῦ.

### *II$^2$2839 / PML$^b$ cap. Ψ 1, 1

Γενέσεως·

Ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.

### *II$^2$2840 / PML$^b$ cap. Ψ 1, 2

Ἰώβ·

Πνεῦμα θεῖον τὸ περιόν μοι ἐν ῥισίν,
πνεῦμα θεῖον τὸ ποιῆσάν με,
πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με.

---

**2** Περὶ ψυχῆς] cf. I / C cap. 10, 28

---

**5 – 7** ***II$^2$2839** Gen. 2, 7 **10** ***II$^2$2840** Πνεῦμα – ῥισίν] Iob 27, 3$^2$ **11 – 12** πνεῦμα – με] Ibid. 33, 4$^{1-2}$

---

**1 Stoicheion** P$^{txt}$ (374rA1) ML$^{b\ pin}$ A$^{III\ pin}$ R; *deest in* P$^{pin}$ L$^{b\ txt}$ E T$^{(lac.)}$ H$^{III}$A$^{III\ txt}$ **2 Titlos** P (374rA2) ML$^{b\ pin}$ E$^{txt}$ A$^{III\ pin}$ R; *deest in* L$^{b\ txt}$ E$^{pin\ (lac.)}$ T$^{(lac.)}$ H$^{III}$A$^{III\ txt}$ **4 – 7** ***II$^2$2839** P cap. Ψ 1, 1 (374rA[3]4–11); M cap. Ψ 1, 1; V$^W$ cap. Ψ 1, 1; E cap. 269, 1; R cap. Ψ 1, 1; *deest in* L$^b$ T$^{(lac.)}$ H$^{III}$ **9 – 12** ***II$^2$2840** P cap. Ψ 1, 2 (374rA[11]12–17); M cap. Ψ 1, 2; V$^W$ cap. Ψ 1, 2; E cap. 269, 2; *deest in* L$^b$ T$^{(lac.)}$ H$^{III}$ R

---

**1** Στοιχεῖον Ψ] κεφάλαια του Ψ M$^{pin}$, ἀρχὴ τοῦ Ψ στοιχείου L$^{b\ pin}$ Ψ] ψῖ R$^{pin}$, *praem.* του M, *add.* βϊβλίον γ′ A$^{III\ pin}$ **2** Τίτλος] *om.* PML$^{b\ pin}$ V$^{W\ pin}$ E$^{txt}$ A$^{III\ pin}$ α′] *iterav.* R$^{pin}$, *om.* E$^{txt}$ *(*cξθ′ *exspectav.)*

---

***II$^2$2840** (a) P V$^W$ E (b) Ἀπὸ τοῦ Ἰώβ *(*ϊώβ *cod.)* M

---

**5** λαβὼν] *om.* P V$^W$ **10 – 11** θεῖον – πνεῦμα] *om.* M **12** δὲ] *om.* E

## *II²2841 / PML^b cap. Ψ 1, 3

Ὠσηὲ προφήτου·

…Ἐφραὶμ περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν.

## *II²2842 / PML^b cap. Ψ 1, 4

Ζαχαρίου προφήτου·

…πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ· κύριος παντοκράτωρ ὄνομα αὐτῷ.

## *II²2843 / PML^b cap. Ψ 1, 5

Παροιμιῶν·

Ψυχὴ εὐλογημένη πᾶσα ἁπλῆ.

---

**10** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 46.3./53.3. (ed. Ihm, p. 774)

---

**3** ***II²2841** Os. 7, 11 (Wahl, *Prophetenzitate*, p. 163) **6** ***II²2842** πλάσσων – αὐτῷ] Zach. 12, 1 (Wahl, *Prophetenzitate*, p. 268) **6 – 7** κύριος – αὐτῷ] Am. 9, 6 **10** ***II²2843** Prov. 11, 25¹ (Wahl, *Proverbien-Text*, p. 59)

---

**2 – 3** ***II²2841** P cap. Ψ 1, 3 (374rA[17]18–20); M cap. Ψ 1, 3; V^W cap. Ψ 1, 3; *deest in* L^b E T^(lac.) H^III R **5 – 7** ***II²2842** P cap. Ψ 1, 4 (374rA[20]21–23); M cap. Ψ 1, 4; V^W cap. Ψ 1, 4; *deest in* L^b E T^(lac.) H^III R **9 – 10** ***II²2843** P cap. Ψ 1, 5 (374rA[24] 25–26); M cap. Ψ 1, 5; V^W cap. Ψ 1, 5; *deest in* L^b E T^(lac.) H^III R

---

***II²2841** ωσηέ P, ωσηε M, ὠσιέ V^W προφήτου] *om.* P V^W ***II²2842** ζαχαριου M προφήτου] *om.* P V^W

---

**3** ἐφραιμ PM **6** αὐτῷ – παντοκράτωρ] αυτῶ κύριος· παντοκράτωρ P, αὐτῶ κύριος παντοκράτωρ V^W

## *II$^{2}$2844 / PML$^{b}$ cap. Ψ 1, 6

Τοῦ Ἐκκλησιαστοῦ·

Πλὴν ἰδὲ τοῦτο εἶδον, ὃ ἐποίησεν ὁ θεὸς
τὸν ἄνθρωπον εὐθῆ,
αὐτοὶ δὲ ἐζήτησαν λογισμοὺς πολλούς.

## *II$^{2}$2845 / PML$^{b}$ cap. Ψ 1, 7

Σοφίας Σολομῶντος·

Βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα.

## *II$^{2}$2846 / PML$^{b}$ cap. Ψ 1, 8

Σιράχ·

Τέκνον, ἐν πραΰτητι δόξασον τὴν ψυχήν σου,
καὶ δὸς αὐτῇ τιμὴν κατὰ τὴν τάξιν αὐτῆς.

---

**11 – 12** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 46.4./53.5. (ed. Ihm, p. 774)

---

**3 – 5** ***II$^{2}$2844** Eccle. 7, 29$^{1–3}$ (Wahl, *Kohelet-Text*, p. 162–163) **8** ***II$^{2}$2845** Sap. 9, 15$^{2}$ **11 – 12** ***II$^{2}$2846** Sir. 10, 28$^{1–2}$ (Wahl, *Sirach-Text*, p. 75)

---

**2 – 5** ***II$^{2}$2844** P cap. Ψ 1, 6 (374rA[26]27–31); M cap. Ψ 1, 6; V$^{W}$ cap. Ψ 1, 6; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R **7 – 8** ***II$^{2}$2845** P cap. Ψ 1, 7 (374rA[32]33–35); M cap. Ψ 1, 7; V$^{W}$ cap. Ψ 1, 7; E cap. 269, 3; R cap. Ψ 1, 2; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **10 – 12** ***II$^{2}$2846** P cap. Ψ 1, 8 (374rA[35]36–374rB4); M cap. Ψ 1, 8; V$^{W}$ cap. Ψ 1, 8; E cap. 269, 4; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^{2}$2844** Τοῦ] *om.* P V$^{W}$ ***II$^{2}$2845** (a) PM E R σοφία PM, σο$^{φ}$′ R σολομωντος M (b) Σολομῶντος *(*σολο$^{μ}$ *cod.)* V$^{W}$ ***II$^{2}$2846** (a) P E (b) Τοῦ Σιράχ *(*-αχ *cod.)* M (c) *s. a.* V$^{W}$

---

**3** ἰδὲ] ἴδε V$^{W}$, *om.* M τουτο ϊδον P$^{a. c.}$, τουτο ἴδιον P$^{p. c.}$, τοῦτο ἴδιον V$^{W}$, ἴδον τοῦτο M, τοῦτο εὗρον *LXX* **5** πολλούς] πονηρους M **11** πραότητι E$^{ut\ videtur}$ **12** τάξιν] ἀξιαν M

## *II$^{2}$2847 / PML$^{b}$ cap. Ψ 1, 9

Τοῦ αὐτοῦ·

Ψυχὴ ἀνδρὸς ἀπαγγέλλειν εἴωθεν
ἢ ἑπτὰ σκοποὶ ἐπὶ μετεώρου καθήμενοι.

## *II$^{2}$2848 / PML$^{b}$ cap. Ψ 1, 10

Τοῦ αὐτοῦ·

Τέκνον, ἐν ζωῇ σου πείρασον τὴν ψυχήν σου,
καὶ ἴδε τί πονηρὸν αὐτῇ, καὶ μὴ δῷς αὐτῇ·
οὐ γὰρ πάντα πᾶσιν συμφέρει,
καὶ οὐ πᾶσα ψυχὴ ἐν παντὶ εὐδοκεῖ.

## *II$^{2}$2849 / PML$^{b}$ cap. Ψ 1, 11

Τοῦ αὐτοῦ·

Ψυχὴ πονηρὰ ἀπολεῖ τὸν κτησάμενον αὐτήν,
καὶ ἐπίχαρμα ἐχθρῶν ποιήσει αὐτόν.

---

**7 – 10** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 46.5./53.6. (ed. Ihm, p. 774–775) **7 – 9** Τέκνον – συμφέρει] exstat ibid., 63.5./70.5. (p. 932)

---

**3 – 4** ***II$^{2}$2847** Sir. 37, 14$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 147) **7 – 10** ***II$^{2}$2848** Sir. 37, 27$^{1}$–28$^{2}$ (Wahl, *Sirach-Text*, p. 148–149) **13 – 14** ***II$^{2}$2849** Sir. 6, 4$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 59)

---

**2 – 4** ***II$^{2}$2847** P cap. Ψ 1, 9 (374rB[4]5–8); M cap. Ψ 1, 9; V$^{W}$ cap. Ψ 1, 9; E cap. 269, 5; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **6 – 10** ***II$^{2}$2848** P cap. Ψ 1, 10 (374rB[8]9–15); M cap. Ψ 1, 10; V$^{W}$ cap. Ψ 1, 10; E cap. 269, 6; R cap. Ψ 1, 3; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **12 – 14** ***II$^{2}$2849** P cap. Ψ 1, 11 (374rB16–20); M cap. Ψ 1, 11; V$^{W}$ cap. Ψ 1, 11; E cap. 269, 7; R cap. Ψ 1, 4; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2847** (a) PM (b) *s. a.* V$^{W}$ E ***II$^{2}$2848** (a) PM (b) Σιράχ R (c) *s. a.* V$^{W}$ E ***II$^{2}$2849** (a) V$^{W}$ R (b) *s. a.* P E (c) *s. d.* M

---

**3** ἀπαγγελεῖν M, ἀποβάλλειν V$^{W}$ **8** ἴδε PM αὐτῇ] ἐναυτῇ M δῶς M E, δὸς V$^{W}$ **9** παντάπασι E **10** οὐ] *om.* M ψυχὴ – εὐδοκεῖ] *om.* M **13** κτισάμενον P V$^{W\ a.\ c.}$ **14** ἐχθρὸν E αὐτήν V$^{W}$

## *II$^{2}$2850 / PML$^{b}$ cap. Ψ 1, 12

<***>

Τῶν ἀγαθῶν αἱ ψυχαὶ ταῖς καθαρωτάταις ἐοίκασι πηγαῖς· ἐκεῖναι τὲ γὰρ τοὺς παριόντας, κἂν μὴ διψῶσι, τῷ εἴδει ἐφέλκονται αὐτοὺς ἀρύσασθαι τοῦ ποτοῦ.

## *II$^{2}$2851 / PML$^{b}$ cap. Ψ 1, 13

Τοῦ ἁγίου Κλήμεντος Ῥώμης·

…πανταχοῦ παρὼν ὁ θεός, τοῦ πανταχόθεν ἀπείρου νοὸς τὴν μετουσίαν διδούς, ἣν πάντων ἀναπνέουσαι αἱ ψυχαὶ τὸ ζῆν ἔχουσιν· κἂν χωρισθῶσιν τοῦ σώματος καὶ τὸν εἰς αὐτὸν εὑρεθῶσιν πόθον ἔχουσαι, εἰς τὸν αὐτοῦ κόλπον φέρονται ἀθάνατοι, ὡς ἐν χειμῶνος ὥρᾳ οἱ ἀτμοὶ τῆς γῆς ὑπὸ τῶν τοῦ ἡλίου ἀκτίνων ἐφελκόμενοι φέρονται πρὸς αὐτόν. Θείαν οὖν στοργὴν συλλαβεῖν δυνάμεθα, ἐὰν τὴν εὐμορφίαν αὐτοῦ τῷ νῷ ὡς νοερὰν κατοπτεύωμεν· ἄλλως δὲ ἀμήχανον. Δυνατὸν γὰρ ἐπὶ μόνου θεοῦ κάλλος ἄνευ μορφῆς εἶναι καὶ πρὸς τὸν ἑαυτοῦ ἔρωτα ἐπισπᾶσθαι τινὰ τῷ πίστει θεὸν ὁρᾶν, εἶδος περίγραπτον οὐκ ἔχοντα.

---

**3 – 5** ***II$^{2}$2850** Ps.-Ignatius Antiochenus, *Epistula ad Mariam Cassobolitam*, I, 3 (ed. Funk/Diekamp, p. 88, 12–14; deest apud Holl) **8 – 17** ***II$^{2}$2851** Ps.-Clemens Romanus, *Homilia* ιζ 10,3 – 5 (ed. Rehm†/Strecker, p. 235, 1 – 9); Holl, n° 22

---

**2 – 5** ***II$^{2}$2850** P cap. Ψ 1, 12 (374rB20 –28); M cap. Ψ 1, 12; V$^{W}$ cap. Ψ 1, 12; E cap. 269, 8; R cap. Ψ 1, 5; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **7 – 17** ***II$^{2}$2851** P cap. Ψ 1, 13 (374rB [28]29 –374vA26); M cap. Ψ 1, 13; V$^{W}$ cap. Ψ 1, 13; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^{2}$2850** (a) *s. a.* P V$^{W}$ E (b) Τοῦ ἁγίου Βασιλείου *(*βασιλειου *cod.)* M (c) Τοῦ αὐτοῦ R ***II$^{2}$2851** (a) PM κλημεντος ρωμης PM (b) Κλήμεντος *(*κλη$^{μ}$ *cod.)* V$^{W}$

---

**3 – 4** ἐκεῖναι – γὰρ] ἐκεῖναι τε γὰρ V$^{W}$, ἐκεῖναι *(*-ει- M*)* γὰρ M E, καὶ γὰρ ἐκεῖναι R **4** εἴδη P, εἰδι M, δῗηδεῖ R **4 – 5** τοῦ ποτοῦ ἀρρύσασθαι αὐτούς R **5** ἀρρύσασθαι V$^{W\,p.\,c.}$ πότου V$^{W}$, ποτου PM **9** διδούς] δίδωσι M ἣν] *om.* M αἱ] *om.* M **10** καὶ] κἂν M$^{p.\,c.}$ αὐτὸν] θεὸν *(e corr.)* M **11 – 12** φέρονται – ἐφελκόμενοι] *om.* M **12** ἀκτήνων V$^{W\,a.\,c.}$ **14** τῷ – ὡς] τοῦ νωῶς P κατωπτευωνμεν *(littera -ν- cancellata ut videtur)* M, κατοπτεύομεν *(*-ευ- P*)* P V$^{W}$ **16** ἐπισπάσασθαι τινα M, ἐπισπάσασθαί τινα V$^{W}$ **17** εἴδος περὶγραπτον P, εἶδος περιγραπτὸν V$^{W}$, εἰδ’ απερίγραπτον M

## *II$^{2}$2852 / PML$^{b}$ cap. Ψ 1, 14

Τοῦ αὐτοῦ·

Ἀθάνατοι πᾶσαι αἱ ψυχαί, καὶ τῶν ἀσεβῶν, αἷς ἄμεινον ἦν μὴ ἀφθάρτους εἶναι· κολαζόμεναι γὰρ ὑπὸ τοῦ ἀσβέστου πυρὸς ἀπεράντῳ τιμωρίᾳ καὶ μὴ θνήσκουσαι ἐπὶ κακῷ, τὸ ἑαυτῶν τέλος λαβεῖν οὐκ ἔχουσιν.

## *II$^{2}$2853 / PML$^{b}$ cap. Ψ 1, 15

Τοῦ ἁγίου Εἰρηναίου Λούγδονος·

Αἱ ψυχαὶ ἀπέρχονται εἰς τὸν τόπον τὸν ὡρισμένον αὐταῖς ἀπὸ τοῦ θεοῦ, κἀκεῖ μέχρι τῆς ἀναστάσεως φοιτῶσιν, περιμένουσαι τὴν ἀνάστασιν· ἔπειτα ἀπολαβοῦσαι τὰ σώματα καὶ ὁλοκλήρως ἀναστᾶσαι, τουτέστιν σωματικῶς, καθὼς καὶ ὁ κύριος ἀνέστη, οὕτως ἐλεύσονται εἰς τὴν ὄψιν τοῦ θεοῦ.

---

**3 – 6** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 46.13./53.14. (ed. Ihm, p. 778)

---

**3 – 6** ***II$^{2}$2852** Ps.-Clemens Romanus, *Homilia* ια 11,2 (ed. Rehm†/Strecker, p. 159, 4–7); Holl, n° 16 **9 – 13** ***II$^{2}$2853** Irenaeus Lugdunensis, *Adversus haereses*, V, 31, 45–50 (Fr. gr. 27) (ed. Rousseau/Doutreleau/Mercier, p. 394); Holl, n° 173

---

**2 – 6** ***II$^{2}$2852** P cap. Ψ 1, 14 (374vA[26]27–374vB2); M cap. Ψ 1, 14; V$^{W}$ cap. Ψ 1, 14; E cap. 269, 9; R cap. Ψ 1, 6; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **8 – 13** ***II$^{2}$2853** P cap. Ψ 1, 15 (374vB[2–3]4–19); M cap. Ψ 1, 15; V$^{W}$ cap. Ψ 1, 15; E cap. 269, 10; R cap. Ψ 1, 7; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2852** (a) PM V$^{W}$ (b) Τοῦ ἁγίου Κλήμεντος *(-η- cod.)* Ῥώμης R (c) Κλήμεντος Ῥώμης E ***II$^{2}$2853** (a) PM εἰρηναιου M, ειρηνέου P λουγγδονος *(sic)* P, λουγδωνος M (b) Τοῦ ἁγίου Εἰρηναίου R (c) Ἁγίου Εἰρηναίου E (e) Εἰρηναίου *(*εἰρην *cod.)* V$^{W}$

---

**13** ἐλευσον P τὴν ὄψιν] τὸν οἶκον M

## *II$^{2}$2854 / PML$^{b}$ cap. Ψ 1, 16

Τοῦ ἁγίου Ἀθανασίου, ἐκ τοῦ περὶ εἰδώλων·

Ὥσπερ, τοῦ σώματος θνητοῦ τυγχάνοντος, θνητὰ καὶ αἱ τούτου θεωροῦσιν αἰσθήσεις, οὕτως ἀθάνατα θεωροῦσαν καὶ λογιζομένην τὴν ψυχήν, ἀνάγκη ἀθάνατον καὶ αὐτὴν εἶναι καὶ ἀεὶ ζῆν. Αἱ γὰρ περὶ τῆς ἀθανασίας ἔννοιαι οὐδέποτε ταύτην ἀφίουσι, μένουσαι ἐν αὐτῇ, καὶ ὥσπερ ἔγκαυμα ἐν αὐτῇ γενόμεναι πρὸς ἀσφάλειαν τῆς ἀθανάτου ζωῆς.

## *II$^{2}$2855 / PML$^{b}$ cap. Ψ 1, 17

Τοῦ ἁγίου Βασιλείου, εἰς τὸ *Πρόσεχε ἑαυτῷ*·

Ἡ ἀκριβὴς ἑαυτοῦ κατανόησις αὐτάρκη σοι παρέξει χειραγωγίαν καὶ πρὸς τὴν ἔννοιαν τοῦ θεοῦ. Ἐὰν γὰρ προσέχῃς σεαυτῷ, οὐδὲν δεήσῃ ἐκ τῆς τῶν ὅλων κατασκευῆς τὸν δημιουργὸν ἐξιχνεύειν, ἀλλ’ ἐν σεαυτῷ, οἱονεὶ μικρῷ τινι διακόσμῳ, τὴν μεγάλην κατόψει

---

**11 – 12** Ἡ – θεοῦ] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 49.6./56.6. (ed. Ihm, p. 811)

---

**3 – 8** ***II$^{2}$2854** Athanasius Alexandrinus, *Contra idola (Contra gentes)*, 33, 35–40 (ed. Thomson, p. 92) **11 – 1260, 4** ***II$^{2}$2855** Basilius Caesariensis, *Homilia in illud:* Attende tibi ipsi *(Deut. 15, 9)*, 7 (ed. Rudberg, p. 35, 12–18)

---

**2 – 8** ***II$^{2}$2854** P cap. Ψ 1, 16 (374vB[19–20]21–375rA4); M cap. Ψ 1, 16; V$^{W}$ cap. Ψ 1, 16; E cap. 269, 11; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **10 – 1260, 4** ***II$^{2}$2855** P cap. Ψ 1, 17 (375rA[4–5]6–31); M cap. Ψ 1, 17; V$^{W}$ cap. Ψ 1, 17; E cap. 269, 12; R cap. Ψ 1, 8; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2854** (a) PM αθανασίου P (b) Ἁγίου Ἀθανασίου E (c) Ἀθανασίου *(*ἀθανα *cod. ut videtur)* V$^{W}$ ***II$^{2}$2855** (a) PM βασιλειου *codd.* ἑαυτῷ] *scripsi*, ἑαυτῶ P, *om.* M (b) Τοῦ ἁγίου Βασιλείου R (c) Βασιλείου V$^{W}$ E βασι$^{λ}$ V$^{W}$

---

**3** θνῆτα P, θνηται M **4** θεωροῦσιν] θεωροῦνται M **4 – 5** διαλογιζομένην E **6** ταύτην] αυτὴν M ἀφίουσι] *sic* P V$^{W}$, ἀφιοῦσαι M, ἀφιᾶσι *ed.* **6 – 7** μενοῦσαι V$^{W\ a.\ c.}$, μενουσαι V$^{W\ p.\ c.}$, μένουσιν M **7** καὶ] *om.* M ἐκκαυμα V$^{W}$ *(*ἔκκαυμα *II$^{2}$2889 / PML$^{b}$ cap. Ω 1, 20 *et ed.)* **8** ἀθανάτου] αἰωνίου M **11** εἀυτοῦ P, ἐαυτου M$^{a.\ c.}$, σἐαυτου M$^{p.\ c.}$, σεαυτοῦ V$^{W}$ E **12** καὶ] *eras.* M προσεχῆς M, προσέχεις V$^{W}$ **13** δεήσει M V$^{W}$ ὅλων] ἄλλων *e corr.* M διμιουργὸν PM **14** μικρῶ τινί διακόσμω V$^{W}$, τϊνὶ διακόσμω μϊκρῶ R, μικρῶ *(*-ῶι E*)* διακόσμω M E κατόψη M

τοῦ κτίσαντός σε σοφίαν. Ἀσώματον νόει τὸν θεὸν ἐκ τῆς ἐνυπαρχούσης σοι ψυχῆς ἀσωμάτου, μὴ περιγραφόμενον ἐν τόπῳ, ἐπειδὴ οὐδὲ ὁ σὸς νοῦς προηγουμένην ἔχει τὴν ἐν τόπῳ διατριβήν, ἀλλὰ διὰ τῆς πρὸς τὸ σῶμα συναφείας ἐν τόπῳ γίνεται.

## *II$^{2}$2856 / PML$^{b}$ cap. Ψ 1, 18

Τοῦ ἁγίου Ἐπιφανίου, ἐκ τοῦ Ἀγκυρωτοῦ·

Γέγραπται ὅτι ἔλαβεν *χοῦν ἀπὸ τῆς γῆς ὁ θεός*, καὶ *ἔπλασε τὸν ἄνθρωπον*. Καὶ ἄνθρωπον καλεῖ τὸν χοϊκόν, καὶ ἄνθρωπον καλεῖ τὸν ψυχικόν. *Ἐνεφύσησεν* γὰρ *εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν*. Κτιστὴν δὲ εἶναι τὴν ψυχὴν καὶ τὸ σῶμα νοοῦμεν, καὶ οὔτε μέρος θεοῦ εἶναι τὴν ψυχὴν λέγομεν οὔτε ἀλλοτρίαν τοῦ ἐμφυσήματος· πῶς δὲ τὸ λεπτὸν τοῦτο νοεῖται, θεῷ μόνῳ ἔγνωσται. Ἡμεῖς δὲ ἀπεριέργως καὶ ἀκακούργως πιστεύομεν θεῷ, τῷ ἀληθεύοντι ἐν πᾶσιν.

---

**7 – 8** χοῦν – ἄνθρωπον$^{1}$] Gen. 2, 7 **9 – 10** Ibid.

---

**7 – 14** ***II$^{2}$2856** Epiphanius Constantiensis, *Ancoratus*, 55, 8 – 56, 1 (ed. Holl/ Bergermann/Collatz, p. 65, 9–17)

---

**6 – 14** ***II$^{2}$2856** P cap. Ψ 1, 18 (375rA[31–32]33–375rB20); M cap. Ψ 1, 18; V$^{W}$ cap. Ψ 1, 18; R cap. Ψ 1, 9; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2856** (a) PM επιφανιου M τοῦ Ἀγκυρωτοῦ] του αγκυρωτου P, ταγκυρωτου M (b) Τοῦ ἁγίου Ἐπιφανίου R (c) Ἐπιφανίου *(*ἐπιφα *cod.)* V$^{W}$

---

**1** κτίσαντός σε] κτίσαντος R **1 – 2** ἐνϋπαρχούσης σοι V$^{W}$, ἐνυπαρχούσης σοῦ R, ὑπαρχούσης σοι E, ϋπαρχουσης *(*ϋ- *sic* P, *non liquet in* M*)* σοι PM **3 – 4** ἔχει – διατριβήν] *in mg.* P **4** τῆς] τὴν PM V$^{W}$ συνάφειαν *(*-α- PM*)* PM V$^{W}$ **8** Καὶ] *eras.* M **8 – 9** καὶ – ψυχικόν] *expunx.* R **9** ἐνεφύσισε P V$^{W}$ **11** εἶναι] *post* ψυχὴν *transpos. (et* εἶναι *iterav.)* M ψυχὴν] *add.* καὶ τὸ σῶμα νοοῦμεν V$^{W}$ λέγοντες V$^{W}$ **12** ἐμφυσίματος P V$^{W\ a.\ c.}$ τὸ λεπτὸν] κατὰ λεπτὸν *ed.* **13** ἀπεριεργῶς P$^{a.\ c.}$ M ἀκακούργως] ἀπανουργος M **13 – 14** πιστεύωμεν V$^{W}$

## *II$^2$2857 / PML$^b$ cap. Ψ 1, 19

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας·

Τῶν ἐπὶ γῆς αἱ μητέρες, ὑπηρετοῦσαι τῇ φύσει πρὸς γέννησιν, ἔχουσι μὲν ἐν μήτρᾳ πηγνυμένην κατὰ βραχὺ τὴν σάρκα, καὶ ἀφράστοις τισὶν ἐνεργείαις θεοῦ προϊοῦσαν καὶ τελειουμένην εἰς εἶδος ἀνθρώπινον· ἐνίησι δὲ τῷ ζώῳ τὸ πνεῦμα ὁ θεός, καθ' ὃν οἶδεν τρόπον. *Πλάττει* γὰρ *πνεῦμα ἀνθρώπου ἐν αὐτῷ* κατὰ τὴν τοῦ προφήτου φωνήν. Ἕτερος γοῦν ὁ σαρκός, καὶ ἕτερος ὁμοίως ὁ τῆς ψυχῆς ἐστιν λόγος. Ἀλλ' εἰ καὶ γεγόνασι μόνον αὗται τῶν ἀπὸ γῆς σωμάτων μητέρες, ἀλλ' ὅλον ἀποτεκοῦσαι τὸ ζῶον, τὸ ἐκ ψυχῆς λέγω καὶ σώματος, οὐχὶ μέρος λέγονται ἀποτεκεῖν.

## *II$^2$2858 / PML$^b$ cap. Ψ 1, 20

Τοῦ ἁγίου Διαδόχου·

Ὅταν καλὰ φρονῇ ἡ ψυχή, περιλαμπής ἐστιν ὅλη καὶ περίβλεπτος, ὅτε δὲ κακά, ἀφεγγὴς καὶ ἀθαύμαστος· ὥσπερ αἱ ὑπὸ τῆς κόρης τοῦ ὀφθαλμοῦ ἁρπαζόμεναι σκιαὶ διὰ τὴν πολλὴν αὐτῆς καὶ ὀξεῖαν τρανότητα, ἥντινα αἴσθησιν δεῖ λέγειν τῆς ὀπτικῆς δυνά-

---

7 Zach. 12, 1

---

**3 – 11** ***II$^2$2857** Cyrillus Alexandrinus, *Epistula ad monachos Aegypti (Ep. 1)*, 12 (ed. Schwartz, p. 15, 13–20) **14 – 1262, 10** ***II$^2$2858** Diadochus Photicensis, *Visio* ιη' (ed. des Places, p. 174, 6–23)

---

**2 – 11** ***II$^2$2857** P cap. Ψ 1, 19 (375rB[21]22–375vA12); M cap. Ψ 1, 19; V$^W$ cap. Ψ 1, 19; R cap. Ψ 1, 10; *deest in* L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **13 – 1262, 10** ***II$^2$2858** P cap. Ψ 1, 20 (375vA[12]13–375vB23); M cap. Ψ 1, 20; V$^W$ cap. Ψ 1, 20; E cap. 269, 13; *deest in* L$^b$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^2$2857** (a) PM R κυριλλου M Ἀλεξανδρείας] ἀλεξανδρειας M, ἀλεξανδριας P, *om.* R (b) Κυρίλλου *(*κ$^υ$ρι$^λ$ *cod.)* V$^W$ ***II$^2$2858** (a) PM ἁγίου] *om.* M διαδοχου *codd.* (b) Διαδόχου ἐπισκόπου E (c) Διαδόχου *(*διαδο$^χ$ *cod.)* V$^W$

---

**4** κατὰ βραχὺ] καὶ καταβραχὺ R **5** προσιοῦσαν M **6** τῷ ζώῳ] *om.* M τὸ] *om.* V$^W$ ὁ] *om.* PM **7** ἑαυτῶ R **8** οὖν R ὁμοίως] *om.* R **9** ἐστιν λόγος] τελεσιουργός R γεγόνασι] γεννῶσϊ R αὐται P, αυταὶ M, αὑταὶ V$^W$ **15 – 1262, 10** ὥσπερ – ἐκτήσαντο] *om.* E **15** κόρρης V$^{W\ p.c.}$ **16** καὶ] *om.* M **17** αἴσθησιν] ἄνθησιν M **17 – 1262, 1** *post* δυνάμεως *quaedam excidisse videntur (cf. ed.)*

μεως <***>, οὕτω δὴ καὶ ὅπερ ἂν ἐκ τῆς ἑαυτοῦ ἐπιθυμίας ὁ νοῦς ἐνθύμημα ἁρπάσῃ, τοῦτο ὥσπερ εἶδος γίνεται τῆς ἐνεργείας τῆς ψυχῆς, ὅπέρ ἐστιν αὐτῆς διὰ πολλὴν λεπτότητα. Ἐπὶ γὰρ τῶν ἀσωμάτων φύσεων, ὅπερ ἂν κτήσηται ἡ ἐνέργεια, τοῦτο ὥσπερ τῆς φύσεως διὰ πολλήν, ὡς ἔφην, λεπτότητα γίνεται, κἂν μετὰ δόξης, κἂν μετὰ [πλήθους] πάθους συμβαίνει γίνεσθαι. Ὅπερ καὶ ἐπὶ τῶν ἀποστατῶν ἀγγέλων δεῖ νοεῖν· ἕως μὲν γὰρ ἐφρόνουν τὰ πρέποντα ἀγγέλοις, αὐτὸ τὸ καλὸν τῶν νοημάτων εἰς εἶδος αὐτοῖς δόξης ἐγίνετο· ἐπεὶ δὲ τῶν θεοφιλῶν κατεφρόνησαν ἐννοιῶν, αὐτὴν τὴν ἀφροσύνην αὐτῶν εἰς εἶδος αἰσχύνης ἐκτήσαντο.

## *$II^2$2859 / $PML^b$ cap. Ψ 1, 21

Φίλωνος, ἐκ τῆς κατὰ Μωσέα κοσμοποιΐας·

Τοῦ τεχνίτου χοῦν λαβόντος καὶ μορφὴν ἀνθρωπίνην ἐξ αὐτοῦ διαπλάσαντος, τὴν ψυχὴν ὑπ᾽ οὐδενὸς εἴληφε γεννητοῦ τοπαράπαν, ἀλλ᾽ ἐκ τοῦ πατρὸς καὶ ἡγεμόνος τῶν ἁπάντων. Τὸ γὰρ *ἐνεφύσησεν* οὐδὲν ἦν ἕτερον ἢ πνεῦμα θεῖον ἀπὸ τῆς μακαρίας καὶ εὐδαίμονος φύσεως ἐκείνης ἀποικίαν τὴν ἐνθάδε στειλάμενον ἐπ᾽ ὠφελείᾳ τοῦ γένους ἡμῶν.

---

**13 – 14** χοῦν – διαπλάσαντος] cf. Gen. 2, 7 **15 – 16** ἐνεφύσησεν] Ibid.

---

**13 – 18** ***$II^2$2859** PHILO IUDAEUS, *De opificio mundi*, 135 (ed. Cohn, p. 47, 1–6)

---

**12 – 18** ***$II^2$2859** P cap. Ψ 1, 21 (375vB[23–24]25–376rA7); M cap. Ψ 1, 21; $V^W$ cap. Ψ 1, 21; E cap. 269, 14; R cap. Ψ 1, 11; *deest in* $L^b$ $T^{(lac.)}$ $H^{III}$

---

***$II^2$2859** (a) PM R φιλωνος M μωσεα M (b) Φίλωνος (φίλο$^ν$ $V^W$) $V^W$ E

---

**6** πλήθους] *delevi cum* $V^W$ *(ed.)* πάθους] *om.* M σβαίνει $P^{a.c.}$, συμβαίνειν M **7** ἀποστάτων P, ἀποστάντων *ed.* δεῖ – ἕως] διατο εἰναι· ὡς M τὰ] *om.* M **8** εἰς εἶδος] εἶ δος $M^{p.c.}$ **8 – 9** αὐτοῖς – ἐγίνετο] αυτῆς δόξις ἐγενετο M **9** θεοφιλων P, θεῶ φίλων M κατεφρώνησαν M, κατεφρονισαν P **10** ἀφροσύνην] εὐφροσύνην *ed. (sed cf. app. crit.)* εἰς] *om.* M ἐκτισαντο P $V^{W\,a.c.}$ **13** τεχνήτου M $V^{W\,a.c.}$ ἀνθρωπίνην] *om.* M αὐτοῦ] *add.* τοῦ R **14** διαπλάσσαντος $V^W$ εἰλήφει M γενητοῦ $V^W$ E **15 – 18** ἀλλ᾽ – ἡμῶν] *cancellata in* $V^W$*, sed ita ut adhuc legi possint* **15** πατρὸς] πνεύματος τοῦ M πάντων M Τὸ] ὃ *ed.* **16** ἦν] *om.* M **17** ἐνθένδε E στειλαμενος M

## *II²2860 / PMLᵇ cap. Ψ 1, 22

Τοῦ αὐτοῦ, ἐκ τῆς αὐτῆς·

Ὁ δημιουργὸς ἀγαθὸς ἦν τά τε ἄλλα καὶ τὴν ἐπιστήμην. Ὅτι δὲ καὶ περὶ τὴν ψυχὴν ἄριστος ἦν, φανερόν· οὐδενὶ γὰρ ἑτέρῳ πράγματι τῶν ἐν γενέσει πρὸς τὴν κατασκευὴν αὐτῆς ἔοικε χρήσασθαι, μόνον δέ, ὡς εἶπον, τῷ ἑαυτοῦ λόγῳ. Διὸ φησὶν ἀπεικόνισμα καὶ μίμημα γεγενῆσθαι τούτου τὸν ἄνθρωπον, ἐμπνευσθέντα εἰς τὸ πρόσωπον, ἔνθα τῶν αἰσθήσεων ὁ τόπος· ἀνάγκη δὲ παγκάλου παραδείγματος πάγκαλον εἶναι τὸ μίμημα.

## *II²2861 / PMLᵇ cap. Ψ 1, 23

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ Μωϋσέως·

Ὁ νοῦς ἐν ἑκάστῳ ἡμῶν τὰ μὲν ἄλλα δύναται καταλαβεῖν, ἑαυτὸν δὲ γνωρίσαι ἀδυνάτως ἔχει. Ὥσπερ γὰρ ὁ ὀφθαλμὸς τὰ μὲν ἄλλα ὁρᾷ, ἑαυτὸν δὲ οὐχ᾿ ὁρᾷ, οὕτω καὶ ὁ νοῦς ἑαυτὸν οὐ καταλαμβά-

---

**6 – 7** ἀπεικόνισμα – ἄνθρωπον] cf. Gen. 1, 26–27; Sap. 2, 23² **7 – 8** ἐμπνευσθέντα – πρόσωπον] cf. Gen. 2, 7

---

**3** ***II²2860** Ὁ – ἐπιστήμην] PHILO IUDAEUS, *De opificio mundi*, 138 (ed. Cohn, p. 48, 6–7) **3 – 8** Ὅτι – τόπος] IBID., 139 (p. 48, 11–16) **8 – 9** ἀνάγκη – μίμημα] IBID. (p. 48, 19 – 49, 1) **12 – 1264, 2** ***II²2861** PHILO IUDAEUS, *Legum allegoriae*, I, 91 (ed. Cohn, p. 85, 4–9)

---

**2 – 9** ***II²2860** P cap. Ψ 1, 22 (376rA[8]9–31); M cap. Ψ 1, 22; V^W cap. Ψ 1, 22; R cap. Ψ 1, 12; *deest in* Lᵇ E T^(lac.) H^III **11 – 1264, 2** ***II²2861** P cap. Ψ 1, 23 (376rA [32]33–376rB12); M cap. Ψ 1, 23; V^W cap. Ψ 1, 23; E cap. 269, 15; R cap. Ψ 1, 13; *deest in* Lᵇ T^(lac.) H^III

---

***II²2860** (a) PM R τῆς αὐτῆς] τοῦ αὐτοῦ R (b) Τοῦ αὐτοῦ V^W ***II²2861** (a) M R τοῦ²] των M μωυσέος R, μωσεως M (b) Περὶ Μωσέως βίου P (c) Τοῦ αὐτοῦ V^W (d) *s. a.* E

---

**4** καὶ] *s. l.* M οὐδενὶ γὰρ] ὅθεν οὐχ᾿ *(-χ e corr.)* M **6** μόνω *(-ω e corr.)* M ὡς] ὥσπερ R εἶπον] ειπῶν P, εἰπὼν V^W a. c. **7** γεγεννησθαι M, γεγενεῖσθαι P V^W a. c. ut videtur **8** παγκάλλου PM **9** πάγκαλλον P μίμημα] παραδειγμα M **12** Ὁ νοῦς] *punctis superne inferneque notata in* M *(man. rec. ut videtur, eadem probabiliter quae in mg.* ὥσπερ ὁ ὀφθαλμος *add.)* **12 – 14** ἑαυτὸν – ὁρᾷ¹] *om.* M **14** ἑαυτὸν²] *add.* μὲν PM V^W

νει. Εἰπάτω γάρ τις τί ἐστι καὶ ποταπός, πνεῦμα ἢ πῦρ ἢ αἷμα ἢ ἀὴρ ἢ ἕτερόν τι, ἢ τοσοῦτόν γε ὅτι σῶμα ἐστὶν ἢ πάλιν ἀσώματον.

## *II²2862 / PML$^b$ cap. Ψ 1, 24

Τοῦ αὐτοῦ, ἐκ τοῦ τίς ὁ κληρονόμος, καὶ †εἰς τὰ ἴσα τῆς ἐναντίας† τομῆς·

Φησὶν ὁ Νομοθέτης ἄντικρυς· *Ψυχὴ πάσης σαρκός, αἷμά ἐστιν*, †τὸ προσνέμον† τῷ σαρκῶν ὄχλῳ τὴν αἵματος ἐπιρροήν, οἰκεῖον οἰκείῳ· τοῦ δὲ νοῦ τὴν οὐσίαν ἐξ οὐδενὸς ἤρτησεν γενητοῦ, ἀλλ' ὑπὸ θεοῦ καταπνευσθεῖσαν εἰσήγαγεν· *ἐνεφύσησεν* γάρ φησιν, ὁ ποιητὴς τῶν ὅλων *εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς* σάρκα *ζῶσαν*, ᾗ κατὰ τὴν εἰκόνα τοῦ ποιητοῦ θεοῦ λόγος ἔχει τυπωθῆναι τὸν ἄνθρωπον. Διττὸν εἶδος ἀνθρώπων, τὸ μὲν θείῳ πνεύματι λογισμῷ βιούντων, τὸ δὲ αἵματι καὶ σαρκὸς ἡδονῇ ζώντων. Τοῦτο <τὸ> εἶδος ἐστὶν πλάσμα γῆς, ἐκεῖνο δὲ θείας εἰκόνος ἐμφερὲς ἐκμαγεῖον. Χρεῖος δέ ἐστιν ὁ πε-

---

**5** τομῆς] cf. Gen. 15, 10 **6** Lev. 17, 11 vel 14 **9 – 11** Gen. 2, 7

---

**4 – 5** ***II²2862** τίς – τομῆς] Philo Iudaeus, *Quis rerum divinarum heres sit*, Titulus (ed. Wendland, p. 1) **6 – 1265, 2** Φησὶν – τούτου] Ibid., 56–58 (p. 14, 1–11)

---

**4 – 1265, 2** ***II²2862** P cap. Ψ 1, 24 (376rB[13–14]15–376vA11); M cap. Ψ 1, 24; $V^W$ cap. Ψ 1, 24; *deest in* $L^b$ E $T^{(lac.)}$ $H^{III}$ R

---

***II²2862** (a) PM ἐκ τοῦ] *om.* M †εἰς – ἐναντίας†] *cruces apposui*, περὶ τῆς εἰς τὰ ἴσα καὶ ἐναντία *ed.* ϊσα *codd.* ἐναντίας] *om.* M τομῆς] *add.* τῆς ἐναντιας τομης M (b) *s. a.* $V^W$

---

**1 – 2** Εἰπάτω – ἀσώματον] *om.* E **1** τίς ἐστιν R, τίς τέ ἐστιν *ed.* **2** τοσοῦτόν γε] τὸ σὺν αὐτῶ M ἀσωματος M, ἀσώματº R **6** Φησὶν – Νομοθέτης] *om.* M ἄντικρυς] *post* Ψυχὴ *transpos.* M **7** †τὸ προσνέμον†] *cruces apposui*, *sic* PM $V^W$, εὖ γε τὸ προσνεῖμαι *ed.* τῷ] *scripsi (ed.)*, τῶν P $V^W$, τῶ *(s. l. add. man. rec. ut videtur)* τῶν M **8** γεννητοῦ $V^W$ **9** ἐνεφύσισε P $V^W$ **11** σάρκα] ψυχην M ᾗ] *scripsi (ed.)*, ἡ $M^{a.\ c.}$, ἥ $M^{p.\ c.\ man.\ rec.\ ut\ videtur}$, εἰ P $V^W$ **12 – 13** ἀνθρώπων] ὁ *(s. l.)* ἄνθρωπος M **13** τὸ[1]] *scripsi (ed.)*, τῶ PM $V^W$ βιούντων] *litterae* -ντων *erasae in* M, *sicut et aliae quaedam post* βιούντων τὸ[2]] *scripsi (ed.)*, τοῦτο PM $V^W$ **14** ζώντων] *litterae* -των *erasae in* M Τοῦτο] *add.* δὲ $V^W$ τὸ] *supplevi (ed.)*, *om.* PM $V^W$ **15** εἰκόνος] *om.* M δέ] *in mg.* $V^W$

πλασμένος ἡμῶν χοῦς καὶ ἀναδεδευμένος αἵματι βοηθείας τούτου.

## *II$^{2}$2863 / PML$^{b}$ cap. Ψ 1, 25

Τοῦ αὐτοῦ·

Τί ἐστιν· *Ἐν αἵματι ψυχῆς κρέας οὐ φάγεσθε*; Ἔοικεν διὰ τούτου δηλοῦν ὅτι ψυχῆς οὐσία αἷμα ἐστίν, ψυχῆς μέντοι τῆς αἰσθητικῆς, οὐχὶ τῆς κατ’ ἐξοχὴν γενομένης, ἥτις ἐστὶν λογική τε καὶ νοερά. Τρία γὰρ μέρη ψυχῆς· τὸ μὲν θρεπτικόν, τὸ δὲ αἰσθητικόν, τὸ δὲ λογικόν. Τοῦ μὲν οὖν λογικοῦ τὸ θεῖον πνεῦμα οὐσία κατὰ τὸν θεολόγον – φησὶν γὰρ ὅτι *Ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς* –, τοῦ δὲ αἰσθητικοῦ καὶ ζωτικοῦ τὸ αἷμα οὐσία· λέγει γὰρ ἐν ἑτέροις ὅτι *ψυχὴ πάσης σαρκὸς* τὸ *αἷμα ἐστίν*. Καὶ κυριώτατα ψυχὴν σαρκὸς αἷμα εἴρηκεν· περὶ σάρκα δὲ ἡ αἴσθησις καὶ τὸ πάθος, οὐχ’ ὁ νοῦς καὶ ὁ λογισμός. Οὐ μήν, ἀλλὰ καὶ τὸ *ἐν αἵματι ψυχῆς* μηνύει ὅτι ἕτερον ἐστὶν ψυχή, καὶ ἕτερον αἷμα, ὡς εἶναι ψυχῆς μὲν ἀψευδῶς οὐσίαν πνεῦμα, μὴ καθ’ αὑτὸ δὲ χωρὶς αἵματος τόπον ἐπέχειν, ἀλλ’ ἐμφέρεσθαι καὶ συγκεκρᾶσθαι αἵματι.

---

**5** Gen. 9, 4 **10 – 11** Ibid. 2, 7 **12** Lev. 17, 11 vel 14 **14 – 15** Gen. 9, 4

---

**5 – 17** ***II$^{2}$2863** PHILO IUDAEUS, *Quaestiones in Genesim*, II. 59 (ed. Petit, p. 114–115)

---

**4 – 17** ***II$^{2}$2863** P cap. Ψ 1, 25 (376vA[11]12–376vB16); M cap. Ψ 1, 25; V$^{W}$ cap. Ψ 1, 25; R cap. Ψ 1, 14; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2863** Τοῦ αὐτοῦ] *cf. etiam infra, app. crit. text.*

---

**1** ἀναδεδεγμενος M **1 – 2** τούτου] *om.* M **5** Τί – φάγεσθε] *lemmati adiuncta sunt in* M κρέας οὐ] κρέα σου M φάγεσθαι P διατοῦτο R **6** μέντοι] μὲν M **7** οὐχὶ] *s. l. add.* δε M$^{man. rec. ut videtur}$ **8** τὸ δὲ$^{1}$] *in mg.* V$^{W}$ **11** τοῦ δὲ] καὶ τοῦ M **12** ψυχῆς P **12 – 13** κυριωτατην M **14** οὐχ’ ὁ] ὀχ’ ο M **15** ἕτερον ἔστι V$^{W}$ αἷμα] σῶμα R **16** ψυχῆς – ἀψευδῶς] ψευδῶς ψυχὴν μὲν R καθ’ ἑαυτὸ R, καθεαυτο M **17** ἐχειν M συνκεκρᾶσθαι P

## *II$^2$2864 / PML$^b$ cap. Ψ 1, 26

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ ἄθλων καὶ ἐπιτιμίων·

Παντὸς ἀνθρώπου κατʼ ἀρχὰς ἅμα τῇ γενέσει κυοφορεῖ δίδυμα ἡ ψυχή, κακὸν καὶ ἀγαθόν, ἑκάτερον φαντασιουμένη.

## *II$^2$2865 / PML$^b$ cap. Ψ 1, 27

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ γιγάντων·

Τῆς ψυχῆς τὸ εἶδος οὐκ ἐκ τῶν αὐτῶν στοιχείων, ἐξ ὧν τὰ ἄλλα ἀπετελεῖτο, διεπλάσθη, καθαρωτέρας δὲ καὶ ἀμείνονος ἔλαχε τῆς οὐσίας, ἐξ ἧς καὶ αἱ θεῖαι φύσεις ἐδημιουργοῦντο· παρʼ ὃ καὶ μόνον τῶν ἐν ἡμῖν εἰκότως ἄφθαρτον ἔδοξεν εἶναι διανοίᾳ. Μόνην γὰρ αὐτὴν ὁ γεννήσας πατὴρ ἐλευθερίας ἠξίωσεν, καὶ τὰ τῆς ἀνάγκης ἀνεὶς δεσμά, ἄφετον εἴασεν, δωρησάμενος αὐτῇ τοῦ πρεπωδεστάτου καὶ οἰκειοτάτου κτήματος αὐτῷ, τοῦ ἑκουσίου, μοῖραν, ἣν ἠδύνατο δέξασθαι.

---

**3 – 4** ***II$^2$2864** PHILO IUDAEUS, *De praemiis et poenis*, 63 (ed. Cohn, p. 350, 6–8) **7 – 14** ***II$^2$2865** PHILO IUDAEUS, *Quod deus sit immutabilis*, 46–47 (ed. Wendland, p. 66, 11–18)

---

**2 – 4** ***II$^2$2864** P cap. Ψ 1, 26 (376vB[17–18]19–24); M cap. Ψ 1, 26; V$^{W}$ cap. Ψ 1, 26; E cap. 269, 16; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R **6 – 14** ***II$^2$2865** P cap. Ψ 1, 27 (376vB[25–26]27–377rA14); M cap. Ψ 1, 27; V$^{W}$ cap. Ψ 1, 27; E cap. 269, 17; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^2$2864** (a) PM ἐπιτιμίων] *sic acc.* P, ἐπιτιμιων M (b) Τοῦ αὐτοῦ V$^{W}$ ***II$^2$2865** (a) PM (b) Τοῦ αὐτοῦ V$^{W}$ (c) *s. a.* E

---

**3** γεννεσει M **4** φαντασιουμένη] *scripsi (ed.)*, φαντασιούμενον *(*φαντασίου- M*)* PM V$^{W}$ E **8** καθαρωτερα M$^{a. c.}$ **9** παρʼ ὃ] παρῶ P, παρ ὧ V$^{W}$, παρω M **9 – 14** ὃ – δέξασθαι] *om.* E **10** διανοίᾳ] *scripsi*, διἀνοία P, διανοία V$^{W}$, διαννοιαν M, *qui verbum expunx.*, διάνοια *ed. (cf. etiam app. crit.)* **11** ὁ] *s. l. post* γεννήσας *transpos.* M **12** εἴασεν] ϊασιν P, εἴασιν M$^{a. c. ut videtur}$ αὐτῇ] *om.* M **12 – 13** πρεποδεστάτου *(*-α- M*)* PM **13** κτήματος – τοῦ] κτηματος, αυτοῦ του M **14** ηδυναντο M$^{a. c.}$

## Τίτλος β′ Περὶ ψόγου.

### *II$^{2}$2866 / PML$^{b}$ cap. Ψ 2, 1

Τοῦ Σιράχ·

Ἐν ἀγαθοῖς μὴ δῷς μῶμον,
καὶ μὴ βδελύξῃ ἄνθρωπον ἐν ἀορασίᾳ αὐτοῦ.

---

**4 *II$^{2}$2866** Ἐν – μῶμον] Sir. 18, 15$^{1}$ (Wahl, *Sirach-Text*, p. 95) **5** καὶ – αὐτοῦ] Ibid. 11, 2$^{2}$ (Wahl, p. 75–76)

---

**1 Titlos** P (377rA15) ML$^{b\ pin}$ V$^{W}$ R; *deest in* L$^{b\ txt}$ T$^{(lac.)}$ H$^{III}$ **3 – 5 *II$^{2}$2866** P cap. Ψ 2, 1 (377rA[15]16–18); M cap. Ψ 2, 1; V$^{W}$ cap. Ψ 2, 1; R cap. Ψ 2, 1; *deest in* L$^{b}$ T H$^{III}$

---

**1** Τίτλος] *om.* PML$^{b\ pin}$ V$^{W\ pin}$ R$^{pin}$ β′] *non liquet in* P$^{txt}$

---

***II$^{2}$2866** Τοῦ] *praem.* ἀπο M, *om.* V$^{W}$ R σιραχ M V$^{W}$

---

**4** μῶμον] ψογον M **5** μὴ] *s. l.* P ὁρασια M, ὁράσει *(ὁ- et -ει e corr.)* V$^{W}$

II$^{1}$ / K cap. Ψ 1

# Τίτλος γʹ Περὶ ψιθυρισμοῦ καὶ ψιθυριστῶν.

II$^{1}$2265 / K cap. Ψ 1, 1

## *II$^{2}$2867 / PML$^{b}$ cap. Ψ 3, 1

Ἀπὸ τοῦ Σιράχ·

Μολύνει τὴν ἑαυτοῦ ψυχὴν ὁ ψιθυρίζων,
καὶ οὗ ἐὰν παροικήσῃ, μισηθήσεται.

II$^{1}$2266 / K cap. Ψ 1, 2

## *II$^{2}$2868 / PML$^{b}$ cap. Ψ 3, 2

Τοῦ αὐτοῦ·

Ψίθυρον καὶ δίγλωσσον καταρᾶσθε·
πολλοὺς γὰρ εἰρηνεύοντας ἀπώλεσεν.

II$^{1}$2267 / K cap. Ψ 1, 3

## *II$^{2}$2869 / PML$^{b}$ cap. Ψ 3, 3

Τοῦ αὐτοῦ·

Μὴ κληθῇς ψίθυρος,

---

**4 – 5** ***II$^{2}$2867** Sir. 21, 28$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 105) **8 – 9** ***II$^{2}$2868** Sir. 28, 13$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 122–123) **12 – 1269, 3** ***II$^{2}$2869** Sir. 5, 14$^{1-4}$ (Wahl, *Sirach-Text*, p. 58)

---

**1 Titlos** P (377rA19–20) ML$^{b\ pin}$ V$^{W}$ E$^{txt}$ R; *deest in* L$^{b\ txt}$ E$^{pin\ (lac.)}$ T$^{(lac.)}$ H$^{III}$A$^{III}$ **3 – 5** ***II$^{2}$2867** P cap. Ψ 3, 1 (377rA[20]21–24); M cap. Ψ 3, 1; V$^{W}$ cap. Ψ 3, 1; E cap. 270, 1; R cap. Ψ 3, 1; *deest* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **7 – 9** ***II$^{2}$2868** P cap. Ψ 3, 2 (377rA25–28); M cap. Ψ 3, 2; V$^{W}$ cap. Ψ 3, 2; E cap. 270, 2; R cap. Ψ 3, 2; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **11 – 1269, 3** ***II$^{2}$2869** P cap. Ψ 3, 3 (377rA[28]29–35); M cap. Ψ 3, 3; V$^{W}$ cap. Ψ 3, 3; E cap. 270, 3; R cap. Ψ 3, 3; *deest* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

**1** Τίτλος] *om.* PML$^{b\ pin}$ V$^{W\ pin}$ E$^{txt}$ R$^{pin}$ γʹ] cξθʹ E$^{txt}$ (coʹ *exspectav.)* ψιθυρισμοῦ – ψιθυριστῶν] ψιθυρισμῶν καὶ ψιθυριστῶν V$^{W}$, ψΐθΰρΐστῶν καὶ ψΐθΰρΐσμοῦ L$^{b\ pin}$ καὶ ψιθυριστῶν] *om.* M

---

***II$^{2}$2867** (a) PM Ἀπὸ] *om.* P σιραχ M (b) Σιράχ E R (c) *s. a.* V$^{W\ ut\ videtur}$ ***II$^{2}$2868** (a) M R V$^{W}$ (b) *s. a.* P E ***II$^{2}$2869** (a) PM R (b) *s. a.* V$^{W}$ E

---

**5** παροικῆση V$^{W\ a.\ c.}$, παροικήσει P R$^{a.\ c.\ ut\ videtur}$, παροικιση M **8** ψιθυρῶν M διγλωσσων M **9** ἀπωλεσαν M

καὶ τῇ γλώσσῃ σου μὴ ἐνέδρευε·
ἐπὶ γὰρ τῷ κλέπτῃ ἐστὶν αἰσχύνη,
καὶ κατάγνωσις πονηρὰ ἐπὶ διγλώσσῳ.

**2** κλέπτη ἔστιν V[W]

# Στοιχεῖον Ω

$II^{1}$ / K cap. Ω 1 **Τίτλος α′ Περὶ ὥρας θανάτου, ὅτι ἡ πρὸς τὴν θείαν καὶ σωτήριον ἐντολὴν παρακοή, τῆς κατὰ χάριν τοῦ δημιουργοῦ ἀφθαρσίας καὶ ἀθανασίας ἀπεστέρησεν ἡμᾶς, καὶ τῷ μόχθῳ παρέδωκεν καὶ τῷ θανάτῳ.**

## *$II^{2}$2870 / $PML^{b}$ cap. Ω 1, 1

Ἀπὸ τῆς Γενέσεως·

Εἶπεν ὁ θεὸς τῷ Ἀδάμ· Ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν ἀπ᾽ αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ. Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ.

---

**8 – 14 *$II^{2}$2870** Gen. 3, 17–19

---

**1 Stoicheion** $P^{txt}$ (378vB1) $ML^{b\,pin}$ $V^{W}$ $A^{III\,pin}$ R; *deest in* $P^{pin}$ $L^{b\,txt}$ E $T^{(lac.)}$ $H^{III}A^{III\,txt}$ **2 – 5 Titlos** P (378vB2–9) $ML^{b\,pin}$ $E^{txt}$ $V^{W}$ $A^{III\,pin}$ R; *deest in* $L^{b\,txt}$ $E^{pin\,(lac.)}$ $T^{(lac.)}$ $H^{III}A^{III\,txt}$ **7 – 14 *$II^{2}$2870** P cap. Ω 1, 1 (378vB[9]10–33); M cap. Ω 1, 1; $V^{W}$ cap. Ω 1, 1; E cap. 272, 1; R cap. Ω 1, 1; *deest in* $L^{b}$ $T^{(lac.)}$ $H^{III}$

---

**1** Στοιχεῖον Ω] κεφάλαια τοῦ Ω $M^{pin}$ Ω] *praem.* τὸ $L^{b\,pin}$, *add.* βϊβλίον γ′ $A^{III\,pin}$ **2** Τίτλος] *om.* $PML^{b\,pin}$ $V^{W\,pin}$ $E^{txt}$ $A^{III\,pin}$ $R^{pin}$ α′] cο′ *(*cοβ′ *exspectav.)* $E^{txt}$, *om.* $A^{III\,pin}$ *(*α′ *secund. ser.)* ὅτι] *praem.* καὶ $V^{W\,txt}$ τὴν] *om.* $A^{III\,pin}$ **5** θανάτῳ] *add.* Βιβλίον δ′ οὐδέν:- ἐν ᾧ καὶ περὶ τῶν ἐν ᾅδου *(quae ad* *$II^{2}$2907 / $PML^{b}$ cap. Ω 1, 42 *spectare videntur)* $A^{III\,pin}$

---

***$II^{2}$2870** Ἀπὸ τῆς] *om.* M $V^{W}$ E R

---

**8** ἀδαμ PM **9** ἐνετειλάμην σοι] ἐνετιλαμην συ *(*σοὶ *in mg. add. man. rec.)* M μὴ] *s. l.* M **10** φαγεῖν. ἀπ᾽ αὐτοῦ P R **11** φαγῆι E R, φαγῇ $V^{W}$, φάγη P, φαγει M αὐτὴν] *s. l.* P **12** τριβολου M ἀνατελεῖ σοι] ἀνατελεισσοι M φαγῆι E, φαγῇ $V^{W}$ R, φάγη P, φαγι M τοῦ ἀγροῦ] *om.* E **12 – 13** Ἐν – σου²] *in mg.* $V^{W}$ **13** ιδροτιτι M φαγῆι E, φαγῇ $V^{W}$ R, φάγη P, φαγη M **13 – 14** ἕως – σε] εωσσου αποστρεψις *(sic)* M **14** ὅτι] *om.* R ἀπελεύσει P, ἀπελευσι M

## *II$^{2}$2871 / PML$^{b}$ cap. Ω 1, 2

Τοῦ Λευϊτικοῦ·

Ἐντομίδας οὐ ποιήσητε ἐπὶ ψυχῇ ἐν τῷ σώματι ὑμῶν.

## *II$^{2}$2872 / PML$^{b}$ cap. Ω 1, 3

Τοῦ Δευτερονομίου·

Οὐ φοιβήσητε, καὶ οὐκ ἐπιθήσετε φαλάκρωμα ἀναμέσον τῶν ὀφθαλμῶν ὑμῶν ἐπὶ νεκρῷ.

## *II$^{2}$2873 / PML$^{b}$ cap. Ω 1, 4

Τοῦ Ἰώβ·

Θάνατος ἀνδρὶ ἀνάπαυσις.

---

**3** ***II$^{2}$2871** Lev. 19, 28 **6 – 7** ***II$^{2}$2872** Deut. 14, 1 (Wahl, *Deuteronomium-Text*, p. 129) **10** ***II$^{2}$2873** Iob 3, 23$^{1}$

---

**2 – 3** ***II$^{2}$2871** P cap. Ω 1, 2 (378vB[33]34–36); M cap. Ω 1, 2; V$^{W}$ cap. Ω 1, 2; R cap. Ω 1, 2; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ **5 – 7** ***II$^{2}$2872** P cap. Ω 1, 3 (379rA[mg]1–5); M cap. Ω 1, 3; V$^{W}$ cap. Ω 1, 3; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R **9 – 10** ***II$^{2}$2873** P cap. Ω 1, 4 (379rA[6]7–8); M cap. Ω 1, 4; V$^{W}$ cap. Ω 1, 4; E cap. 272, 2; R cap. Ω 1, 3; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2871** (a) PM R Τοῦ] *praem.* απο M (b) Λευϊτικοῦ *(*λευη$^{τ}$ *cod.)* V$^{W}$ ***II$^{2}$2872** Τοῦ] *om.* M V$^{W}$ ***II$^{2}$2873** Τοῦ] *om.* V$^{W}$ E R ϊώβ P, ϊωβ M

---

**3** Ἐντομίδας οὐ] ἐντωμίδας οὐ P V$^{W\ a.\ c.}$, ἐντωμηδάσσου μη M ψυχην M ημων M **6** φοιβήσητε] ποιησιτε M, φοβηθήσεσθε *(*-θῆ- *a. c.)* κακά V$^{W}$ ἐπιθήσεσθε V$^{W}$ **7** ημων M νεκρον M **10** ἀναπαυσῆς M, ἀναπαυσης P

II¹2271 /
K cap. Ω 1, 4

## *II²2874 / PMLᵇ cap. Ω 1, 5

Τῶν Παροιμιῶν·

Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου,
καὶ παρασκευάζου εἰς τὸν ἀγρόν.

## *II²2875 / PMLᵇ cap. Ω 1, 6

Τοῦ Ἐκκλησιαστοῦ·

Τὰ πάντα ἐγένετο ἀπὸ χοός,
καὶ τὰ πάντα ἐπιστρέφει εἰς τὸν χοῦν·
καὶ τίς οἶδεν τὸ πνεῦμα υἱῶν τοῦ ἀνθρώπου
εἰ ἀναβαίνει αὐτῷ εἰς ἄνω,
καὶ τὸ πνεῦμα τοῦ κτήνους
εἰ καὶ καταβαίνει αὐτὸ κάτω εἰς τὴν γῆν;

## *II²2876 / PMLᵇ cap. Ω 1, 7

Τοῦ αὐτοῦ·

Ἀγαθὸν ἡμέρα θανάτου ἀνθρώπου ὑπὲρ ἡμέραν γεννήσεως,
ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους

---

**3 – 4** ***II²2874** Prov. 24, 27¹⁻² (Wahl, *Proverbien-Text*, p. 117–118) **7 – 12** ***II²2875** Eccle. 3, 20¹–21² (Wahl, *Kohelet-Text*, p. 152–153) **15 – 1273, 2** ***II²2876** Ἀγαθὸν – ἀνθρώπου] Eccle. 7, 1¹–2³ (Wahl, *Kohelet-Text*, p. 159–160)

---

**2 – 4** ***II²2874** P cap. Ω 1, 5 (379rA[8]9–12); M cap. Ω 1, 5; Vᵂ cap. Ω 1, 5; E cap. 272, 3; R cap. Ω 1, 4; *deest in* Lᵇ T⁽ˡᵃᶜ·⁾ Hᴵᴵᴵ **6 – 12** ***II²2875** P cap. Ω 1, 6 (379rA[12]13–22); M cap. Ω 1, 6; Vᵂ cap. Ω 1, 6; E cap. 272, 4; *deest in* Lᵇ T⁽ˡᵃᶜ·⁾ Hᴵᴵᴵ R **14 – 1273, 4** ***II²2876** P cap. Ω 1, 7 (379rA[23]24–36); M cap. Ω 1, 7; Vᵂ cap. Ω 1, 7; E cap. 272, 5; *deest in* Lᵇ T⁽ˡᵃᶜ·⁾ Hᴵᴵᴵ R

---

***II²2874** Τῶν] *om.* M Vᵂ E R ***II²2875** Τοῦ] *om.* Vᵂ E ***II²2876** (a) PM (b) *s. a.* Vᵂ E *(cf. autem infra, app. crit. text.)*

---

**3** ετοιμαζου M **7** χοός] του χοος M **9 – 12** καὶ – γῆν] *om.* E **9** υἱῶν] *expunx.* M **10** ἀναβαίνη Vᵂ ᵃ· ᶜ· αὐτὸ Vᵂ **12** καὶ] *om.* Vᵂ αὐτὸ] *om.* M **15** ἀνθρώπου] *om.* M γεννήσεως] γενεσεως M, *add.* αὐτοῦ *in mg.* Vᵂ E *(forsan e lemmate)*

ἢ πορευθῆναι εἰς οἶκον πότου,
διότι τοῦτο τέλος παντὸς ἀνθρώπου·
καρδία σοφῶν ἐν οἴκῳ πένθους,
καὶ καρδία ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης.

## *II$^{2}$2877 / PML$^{b}$ cap. Ω 1, 8

Τοῦ αὐτοῦ·

Εἶδον ἀσεβεῖς εἰς τάφους εἰσαχθέντας
καὶ ἐκ τοῦ ἁγίου, καὶ ἐπορεύθησαν
καὶ ἐπηνέθησαν ἐν τῇ πόλει,
ὅτι οὕτως ἐποίησαν·
καί γε τοῦτο ματαιότης.

## *II$^{2}$2878 / PML$^{b}$ cap. Ω 1, 9

Τοῦ αὐτοῦ·

Καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ γυμνός,
ἐπιστρέψει τοῦ πορευθῆναι ὡς ἥκει,
καὶ οὐδὲν λήψεται ἐν μόχθῳ αὐτοῦ,
ἵνα πορευθῇ ἐν τῇ χειρὶ αὐτοῦ.
Καί γε τοῦτο πονηρὰ ἀρρωστία·
ὥσπερ γὰρ παρεγένετο, οὕτω καὶ ἀπελεύσεται,

---

**3 – 4** καρδία – εὐφροσύνης] Ibid. 7, 4$^{1-2}$ (Wahl, p. 160) **7 – 11** *II$^{2}$2877 Eccle. 8, 10$^{1-5}$ (Wahl, *Kohelet-Text*, p. 164) **14 – 1274, 3** *II$^{2}$2878 Eccle. 5, 14$^{1}$–16$^{2}$ (Wahl, *Kohelet-Text*, p. 157–158)

---

**6 – 11** *II$^{2}$2877 P cap. Ω 1, 8 ([379rA36]379rB1–7); M cap. Ω 1, 8; V$^{W}$ cap. Ω 1, 8; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R **13 – 1274, 3** *II$^{2}$2878 P cap. Ω 1, 9 (379rB8–25); M cap. Ω 1, 9; V$^{W}$ cap. Ω 1, 9; R cap. Ω 1, 5; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

*II$^{2}$2877 (a) PM (b) *s. a.* V$^{W}$ *II$^{2}$2878 (a) M (b) Τῶν αὐτῶν R (c) *s. a.* P V$^{W}$

---

**1** ἢ – οἶκον] εἰοισυκον πότου M ποτοῦ P **2** διότι – ἀνθρώπου] *om.* E παντὸς] *om.* M **4** ἀφρόνων] δὲ αφρονος M **7** ἴδον P, ἴδον V$^{W}$ **8** καὶ$^{1}$ – ἁγίου] *om.* M **9** ἐπηνέθησαν] *scripsi (LXX)*, ἐπαινέθησαν (-νε- P) P V$^{W}$, ἐπενεθισαν M **14** γυμνός] ουτος M **15** ἥκει] εἰκη P V$^{W\ a.\ c.\ ut\ videtur}$, ικῇ M **19** ουτος M

καὶ τίς ἡ περισσεία αὐτοῦ ᾗ μοχθεῖ εἰς ἄνεμον;
Καί γε πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἐν σκότει καὶ ἐν πένθει
καὶ θυμῷ πολλῷ καὶ ἀρρωστίᾳ καὶ χόλῳ.

## *II$^{2}$2879 / PML$^{b}$ cap. Ω 1, 10

Σοφίας Σολομῶντος·

Ὁ θεὸς θάνατον οὐκ ἐποίησεν,
οὐδὲ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων.
Ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα,
καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου,
καὶ οὐκ ἔστιν ἐν αὐταῖς φάρμακον ὀλέθρου,
οὐδὲ Ἅδου βασίλειον ἐπὶ γῆς.

## *II$^{2}$2880 / PML$^{b}$ cap. Ω 1, 11

Τοῦ Σιράχ·

Ἐπὶ νεκρῷ μὴ ἀποκωλύσῃς χάριν,
καὶ μετὰ πενθούντων πένθησον.

---

**6 – 11** ***II$^{2}$2879** Sap. 1, 13$^{1}$–14$^{4}$ **14** ***II$^{2}$2880** Ἐπὶ – χάριν] Sir. 7, 33$^{2}$ (Wahl, *Sirach-Text*, p. 66) **15** καὶ – πένθησον] Ibid. 7, 34$^{2}$ (Wahl, p. 66)

---

**5 – 11** ***II$^{2}$2879** P cap. Ω 1, 10 (379rB[26]27–36); M cap. Ω 1, 10; V$^{W}$ cap. Ω 1, 10; E cap. 272, 6; R cap. Ω 1, 6; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **13 – 15** ***II$^{2}$2880** P cap. Ω 1, 11 ([379rB36]379vA1–4); M cap. Ω 1, 11; V$^{W}$ cap. Ω 1, 11; E cap. 272, 7; R cap. Ω 1, 7; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2879** σοφία PM E, *om.* V$^{W}$ ***II$^{2}$2880** Τοῦ] *om.* P V$^{W}$ E R σιραχ M

---

**1** περισσεία] *scripsi*, περισεία M, περισσια P, περισσία V$^{W\ \text{a. c. ut videtur}}$, περίσσεια V$^{W\ \text{p. c.}}$ ᾗ] *scripsi (ed.)*, ἣ R, ἡ P, ἧ V$^{W}$, εἰ M **2** Καί] *praem.* οτι M ἐν$^{2}$] *om.* M πένθει] *add.* καὶ ἐν παροξυσμῷ R **3** θυμῷ] *praem.* εν M καὶ$^{2}$] *om.* R **8** γὰρ] *om.* M τὰ] *om.* PM E **10** οὐκ ἔστιν] οὐκ ἔν *(sic)* R αὐτοῖς R **11** ἀδου P$^{\text{ut videtur}}$, ἄδου M

## *II$^{2}$2881 / PML$^{b}$ cap. Ω 1, 12

**II$^{1}$2275 / K cap. Ω 1, 8**

Τοῦ αὐτοῦ·

Ἐν πᾶσι τοῖς ἔργοις σου μιμνήσκου τὰ ἔσχατά σου,
καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμαρτήσῃς.

## *II$^{2}$2882 / PML$^{b}$ cap. Ω 1, 13

Τοῦ αὐτοῦ·

Πᾶσα σὰρξ ὡς ἱμάτιον παλαιοῦται,
ἡ γὰρ διαθήκη ἀπ’ αἰῶνος· Θανάτῳ ἀποθάνῃ.

## *II$^{2}$2883 / PML$^{b}$ cap. Ω 1, 14

<***>

Ὡς φύλλον θάλλον ἐπὶ δένδρου δασέος,
τὰ μὲν καταβάλλει, ἄλλα δὲ φύει,
οὕτω γενεὰ σαρκὸς καὶ αἵματος,

---

**3 – 4** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 45.4./52.4. (ed. Ihm, p. 767–768)

---

**3 – 4** ***II$^{2}$2881** Sir. 7, 36$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 67) **7 – 8** ***II$^{2}$2882** Sir. 14, 17$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 86–87) **11 – 1276, 3** ***II$^{2}$2883** Ὡς – ἀπελεύσεται] Sir. 14, 18$^{1}$–19$^{2}$ (Wahl, *Sirach-Text*, p. 87)

---

**2 – 4** ***II$^{2}$2881** P cap. Ω 1, 12 (379vA[4]5–8); M cap. Ω 1, 12; V$^{W}$ cap. Ω 1, 12; E cap. 272, 8; R cap. Ω 1, 8; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **6 – 8** ***II$^{2}$2882** P cap. Ω 1, 13 (379vA[8]9–12); M cap. Ω 1, 13; V$^{W}$ cap. Ω 1, 13; R cap. Ω 1, 9; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ **10 – 1276, 4** ***II$^{2}$2883** P cap. Ω 1, 14 (379vA13–25); M cap. Ω 1, 14; V$^{W}$ cap. Ω 1, 14; E cap. 272, 9; R cap. Ω 1, 10; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2881** (a) PM V$^{W}$ R (b) *s. a.* E ***II$^{2}$2882** (a) PM R (b) *s. a.* V$^{W}$ ***II$^{2}$2883** (a) *s. a.* P V$^{W}$ E (b) *s. d.* R (c) Τῶν αὐτῶν M

---

**3 – 4** μιμνήσκου – ἁμαρτήσῃς] *om.* E **3** ἔσχατά σου] ἔσχατα P V$^{W}$, εσχάτα M **4** οὐ – ἁμαρτήσῃς] οὐχαμαρτησης P, ουχ’ αμαρτήσης M, οὐχ’ ἁμαρτήσεις V$^{W}$ **8** γὰρ] δὲ R ἀποθάνῃ] *scripsi*, ἀποθάνη V$^{W}$, ἀποθανη PM, ἀποθανεῖ R **11** Ὡς] ὥσπερ V$^{W}$ E, ὡσπερ PM φῦλλον V$^{W\ a.\ c.}$ θᾶλλον V$^{W\ a.\ c.}$, θαλλον PM δασέως P V$^{W}$, δασεως M **12** τὰ] ὃ τὰ E

ἡ μὲν τελευτᾷ, ἄλλη δὲ γεννᾶται.
Καὶ πᾶν ἔργον σηπόμενον ἐκλείψει,
καὶ ὁ ἐργαζόμενος αὐτὸ μετ᾽ αὐτοῦ ἀπελεύσεται,
καὶ ἄνθρωποι πάντες γῆ καὶ σποδός.

**II$^1$2279 / K cap. Ω 1, 12**

## *II$^2$2884 / PML$^b$ cap. Ω 1, 15

Τοῦ αὐτοῦ·

Ἐν συντελείᾳ ἀνθρώπου, ἀποκάλυψις ἔργων αὐτοῦ.

## *II$^2$2885 / PML$^b$ cap. Ω 1, 16

Τοῦ αὐτοῦ·

Μουσικὰ ἐν πένθει ἄκαιρος διήγησις.

## *II$^2$2886 / PML$^b$ cap. Ω 1, 17

Τοῦ αὐτοῦ·

Ὦ θάνατε, ὡς πικρόν σου τὸ μνημόσυνον
ἀνθρώπῳ εἰρηνεύοντι ἐν τοῖς ὑπάρχουσιν αὐτοῦ,
καὶ ἀνδρὶ ἀπερισπάστῳ καὶ εὐοδουμένῳ ἐν πᾶσι,

---

**4** καὶ$^1$ – σποδός] Sir. 17, 32$^2$ (Wahl, *Sirach-Text*, p. 94) **7** ***II$^2$2884** Sir. 11, 27$^2$ (Wahl, *Sirach-Text*, p. 79) **10** ***II$^2$2885** Sir. 22, 6$^1$ (Wahl, *Sirach-Text*, p. 106) **13 – 1277, 5** ***II$^2$2886** Sir. 41, 1$^1$–2$^4$ (Wahl, *Sirach-Text*, p. 159–160)

---

**6 – 7** ***II$^2$2884** P cap. Ω 1, 15 (379vA26–28); M cap. Ω 1, 15; V$^W$ cap. Ω 1, 15; E cap. 272, 10; R cap. Ω 1, 11; *deest in* L$^b$ T$^{(lac.)}$ H$^{III}$ **9 – 10** ***II$^2$2885** P cap. Ω 1, 16 (379vA28–30); M cap. Ω 1, 16; V$^W$ cap. Ω 1, 16; E cap. 272, 11; *deest in* L$^b$ T$^{(lac.)}$ H$^{III}$ R **12 – 1277, 5** ***II$^2$2886** P cap. Ω 1, 17 (379vA[30]31–379vB13); M cap. Ω 1, 17; V$^W$ cap. Ω 1, 17–18; E cap. 272, 12–13; R cap. Ω 1, 12; *deest in* L$^b$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2884** (a) M R (b) *s. a.* P V$^W$ E ***II$^2$2885** (a) M (b) *s. a.* P V$^W$ E ***II$^2$2886** (a) PM R (b) Τοῦ αὐτοῦ / *s. a.* V$^W$ *(cf. infra, app. crit. text.)* (c) *s. a.* / *s. a.* E *(cf. infra, app. crit. text.)*

---

**2** ἐκλείπει *(*-ει- *e corr.* V$^W$*)*, εκλιπει M **4** ἄνθρωποι] *praem.* οἱ PM V$^W$ E **7** ἔργων αὐτοῦ] ἀνθρώπων M **13** Ὦ] ὦ M, ὤ R πικρόν σοι P μνημόσυνον] μνημοσυνονεστιν M **14** αὐτῶ V$^W$ **15** εὐωδουμενω *(*ευ- M*)* PM

καὶ ἔτι ἰσχύοντι ἐπιδέξασθαι τροφήν.
Ὦ θάνατε, καλόν σου τὸ κρίμα ἐστὶν
ἀνθρώπῳ ἐπιδεομένῳ καὶ ἐλασσουμένῳ ἰσχύϊ,
ἐσχατογήρῳ καὶ περισπωμένῳ περὶ πάντων
καὶ ἀπειθοῦντι καὶ ἀπολωλεκότι ὑπομονήν.

## *II$^{2}$2887 / PML$^{b}$ cap. Ω 1, 18

**II$^{1}$2278 / K cap. Ω 1, 11**

Τοῦ αὐτοῦ·

Μὴ εὐλαβοῦ κρίμα θανάτου,
μνήσθητι τῶν προτέρων σου καὶ ἐσχάτων·
τοῦτο κρίμα παρὰ κυρίου πάσῃ σαρκί,
καὶ τί ἀπαναίνῃ ἐν εὐδοκίᾳ ὑψίστου;
Εἴτε δέκα, εἴτε ἑκατόν, εἴτε χίλια ἔτη,
οὐκ ἔστιν †ἐναλλαγμὸς† ζωῆς.

## <*II$^{2}$suppl. 38 / R cap. Ω 1, 14>

**II$^{1}$2277 / K cap. Ω 1, 10**

---

**14** ***II$^{2}$suppl. 38** *Sacra.* Liber II. *Supplementum* (Band VIII/8)

---

**8 – 13** ***II$^{2}$2887** Sir. 41, 3$^{1}$–4$^{4}$ (Wahl, *Sirach-Text*, p. 160)

---

**7 – 13** ***II$^{2}$2887** P cap. Ω 1, 18 (379vB13–25); M cap. Ω 1, 18; V$^{W}$ cap. Ω 1, 19; R cap. Ω 1, 13; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2887** (a) M (b) *s. a.* P V$^{W}$ (c) *s. d.* R

---

**1** τροφήν] *hic caesura in* V$^{W}$ E **2** Ὦ] ὦ PM κρῖμα ἐστὶν R$^{a. c.}$ E, κριμα ἐστὶν PM V$^{W}$ **3** ϊσχυεῖ P, ἰσχύει V$^{W}$, ἰσχὺν E, ἐν ϊσχυϊ M **4** ἐσχατογήρῳ καὶ] ἐσχατω γῆρα καὶ M, ἐσχάτωι γήρει καὶ E, ἐσχάτω γήρω *(*γῆρω *a. c.)* V$^{W}$, ἐσχάτως τῶ γήρει R παντα M **5** καὶ$^{1}$ – ὑπομονήν] *om.* E ἀπολωλεκότι] V$^{W\ e\ corr.}$, ἀπολελωκότι R, ἀπωλελοκωτι P, ἀπολελοκοτι M **8** κρῖμα R$^{a. c.}$ P, κριμα M **9** μνήσθητι] *praem.* καὶ R **10** τοῦτο] *add.* τὸ, *sed eras.* P κρῖμα R$^{a. c.}$, κριμα E κυρίω M **11** ἀπαναίνει P V$^{W}$ **13** †ἐναλλαγμὸς†] *cruces apposui*, ἐναλλαγμος P, ἀνάλαγμα M, ἐνηλλαγμένη V$^{W}$, ἐν Ἅδῃ ἐλεγμὸς II$^{1}$ *(cf. etiam* II$^{1}$1102 / K cap. Θ 5, 10), ἐν ᾅδου ἐλεγμὸς *LXX* ζωῆς] ζωή V$^{W}$

## *II$^{2}$2888 / PML$^{b}$ cap. Ω 1, 19

Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου·

Ὅταν ἐπὶ τὸ πέρας ἔλθωσιν τοῦ τῆδε βίου οἱ ἱερώτατοι, τὴν εἰς ἀφθαρσίαν αὐτῶν ὁδόν, ἐγγυτέραν ἤδη γεγενημένην, ἐμφανέστερον ὁρῶσι, καὶ τὰς δωρεὰς τῆς θεαρχίας ὑμνοῦσι, καὶ θείας ἡδονῆς †ἀποδεδοικότες†, ἀλλ’ εὖ εἰδότες ὅτι τὰ κτηθέντα καλὰ βεβαίως καὶ αἰωνίως ἕξουσιν. Οἱ δὲ μολυσμῶν ἀνάπλεοι καὶ ἀνιέρων κηλίδων, εἴπερ ἱερᾶς τινὸς τετυχήκασι μυήσεως, αὐτοὶ δὲ ταύτην ἐκ τοῦ οἰκείου νοὸς ὀλεθρίως ἀπορραπίσαντες ἐπὶ τὰς φθοροποιοὺς ηὐτομόλησαν ἐπιθυμίας, ὅταν ἐπὶ τὸ τέλος ἔρχωνται τῆς ἐνθάδε ζωῆς, οὐκέτι ὁμοίως αὐτοῖς εὐκαταφρόνητος φανεῖται τῶν λογίων ἡ θεία θεσμοθεσία, τὰς ὀλλυμένας δὲ τῶν οἰκείων παθῶν ἡδονὰς ἑτέροις ὀφθαλμοῖς ἐπισκοπήσαντες καὶ τὴν ἱερὰν ζωήν, ἧς ἀνοήτως ἐκπεπτώκασι, μακαρίσαντες, ἐλεεινῶς καὶ ἀβουλήτως ἀποσχίζονται τοῦ τῆδε βίου, πρὸς μηδεμίαν ἱερὰν ἐλπίδα χειραγωγούμενοι διὰ τὴν χειρίστην ζωήν. Τούτων δὲ οὐδενὸς γινομένου κατὰ τὰς κοιμήσεις τῶν ἱερῶν ἀνδρῶν, αὐτὸς μὲν ὁ πρὸς τὸ πέρας ἐρχόμενος τῶν οἰκείων ἀγώνων, εὐφροσύνης ἱερᾶς ἀποπληροῦται καὶ σὺν ἡδονῇ πολλῇ πρὸς τὴν ὁδὸν ἐπιβαίνει τῆς ἱερᾶς παλιγγενεσίας.

---

**3 – 20** ***II$^{2}$2888** Ps.-Dionysius Areopagita, *De ecclesiastica hierarchia*, 2–3 (ed. Heil, p. 121, 23 – 122, 15)

---

**2 – 20** ***II$^{2}$2888** P cap. Ω 1, 19 (379vB[25–26]27–380rB14); M cap. Ω 1, 19; V$^{W}$ cap. Ω 1, 20; R cap. Ω 1, 15; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2888** (a) PM R διονυσιου M αρεοπαγιτου PM (b) Διονυσίου V$^{W}$

---

**5** καὶ$^{2}$] μετα M **6** †ἀποδεδοικότες†] *cruces apposui*, ἀποδεδοικότες P V$^{W}$ R, ου *(s. l. et forsan man. rec.)* δεδοικοτες M, *inter* ἀπο *et* δεδοικότες *quaedam excidisse videntur (*-πληροῦνται τὴν ἐπὶ τὰ χείρω τροπὴν οὐκέτι *ed.)* κτησθεντα P **7** ἀναπλέοι P, ἀναπλεοι M ἀνιέρων] *sic acc.* P, ἀνίερων V$^{W}$, ἀνιερῶν R, ανιερων M **8** εἴπερ – τινὸς] ἡ περιεραστην ἧς M τετοιχήκασι M, τετύχηκας P V$^{W}$ **9** ὀλοθρίως P ἀποραπισαντες P V$^{W\ a.\ c.}$ **10** ἔρχονται *(*ἐ- M*)* PM V$^{W}$ **11** ἑαυτοῖς P V$^{W\ a.\ c.}$, ἑαυτοῖς V$^{W\ p.\ c.}$ **11 – 12** τῶν λογίων] *scripsi (ed.)*, τῶν λογισμῶν P V$^{W}$ R, τὸν λογισμον M **12** οἰκείων] *om.* P **14** ἐλεὴνῶς P, ελενηος M **15** ἀποσκιζωνται M **16 – 20** διὰ – παλιγγενεσίας] *om.* V$^{W}$ **16** Τούτων] τουτο M **19** ἐπιβαινεῖν M$^{a.\ c.}$, ἐπιβαινεῖ M$^{p.\ c.}$

## *II²2889 / PMLᵇ cap. Ω 1, 20

Τοῦ ἁγίου Ἀθανασίου, ἐκ τοῦ περὶ εἰδώλων·

Οὐχὶ ἡ ψυχή ἐστιν ἡ ἀποθνήσκουσα, ἀλλὰ διὰ τὴν ταύτης ἀναχώρησιν ἐναποθνήσκει τὸ σῶμα. Εἰ μὲν οὖν αὕτη ὑπὸ τοῦ σώματος ἐκινεῖτο, ἀκόλουθον ἦν, ἀποθνήσκοντος τοῦ κινοῦντος, συναποθνήσκειν αὐτήν. Εἰ δὲ τῇ παρουσίᾳ ταύτης τὸ σῶμα ζῇ, ἀνάγκη πᾶσα καὶ μετὰ τὸν τοῦ σώματος θάνατον ζῆν αὐτήν. Καὶ ὥσπερ, τοῦ σώματος θνητοῦ τυγχάνοντος, θνητὰ καὶ αἱ τούτου θεωροῦσιν αἰσθήσεις, οὕτως ἀθάνατα θεωροῦσαν καὶ λογιζομένην τὴν ψυχήν, ἀνάγκη ἀθάνατον εἶναι καὶ αὐτὴν καὶ ἀεὶ ζῆν. Αἱ γὰρ περὶ τῆς ἀθανασίας ἔννοιαι καὶ θεωρίαι οὐδέποτε ταύτην ἀφίουσι, μένουσαι ἐν αὐτῇ, ὥσπερ ἔκκαυμα ἐν αὐτῇ γινόμεναι πρὸς ἀσφάλειαν τῆς ἀθανάτου ζωῆς.

## *II²2890 / PMLᵇ cap. Ω 1, 21

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ εὐχαριστίας λόγου·

Ἐπιστυγνάζειν μὲν ταῖς συμφοραῖς τῶν πενθούντων ἀκόλουθον. Οὕτω γὰρ ἑαυτὸν οἰκειώσει τοῖς πάσχουσιν, μὴ καθιλαρευόμενος

---

**3 – 7** ***II²2889** Οὐχὶ – αὐτήν] ATHANASIUS ALEXANDRINUS, *Contra idola (Contra gentes)*, 33, 10–16 (ed. Thomson, p. 90) **7 – 13** Καὶ – ζωῆς] IBID., 33, 35–40 (p. 92) **16 – 1280, 4** ***II²2890** Ἐπιστυγνάζειν – πάθους] BASILIUS CAESARIENSIS, re vera *Homilia in martyrem Iulittam*, 8 (PG 31, 256, 46 – 257, 6)

---

**2 – 13** ***II²2889** P cap. Ω 1, 20 (380rB[15]16–380vA14); M cap. Ω 1, 20; V$^{W}$ cap. Ω 1, 21; R cap. Ω 1, 16; *deest in* Lᵇ E T$^{(lac.)}$ H$^{III}$ **15 – 1280, 9** ***II²2890** P cap. Ω 1, 21 (380vA[15–16]17–380vB17); M cap. Ω 1, 21; E cap. 272, 14; *deest in* Lᵇ V$^{W}$ T$^{(lac.)}$ H$^{III}$ R

---

***II²2889** (a) P R (b) Ἀθανασίου *(*αθανασιου *cod.)*, περὶ εἰδώλων M (c) Ἀθανασίου V$^{W}$ ***II²2890** (a) PM Τοῦ ἁγίου] *om.* M βασιλειου *codd.* λόγου] *om.* M (b) Βασιλείου E

---

**3** Οὐχὶ ἡ] οὐχ'η P, ουχ' ἡ V$^{W}$, Οὐχη M ψυχὴ ἐστὶν R, ψυχη εστίν M **4** ἐναποθνήσκει] *sic* P R, ἐν ἀποθνήσκει V$^{W}$, ἐναποθνισκι M αὐτη P **5** ἐκινεῖτο] ἐκεινητο P, εκινητο M κινοῦντος] σώματος V$^{W}$ **8** θνηται M αἱ] *ante* αἰσθήσεις *transpos.* P V$^{W\ a.\ c.}$ **8 – 9** θεωροῦνται M **9 – 10** τῇ ψυχῇ P **10** καὶ αὐτὴν] *om.* M καὶ$^{1}$] *om.* R **11** ἀφίουσι] ἀφιουσιν M, ἀφιᾶσι R **12** ἔγκαυμα M γενομεναι P **17** οἰκειώσηι E, οἰκειώσῃ *ed.* πάσχουσιν] πᾶσιν E καθιλαρευομενον M

τῶν συμφορῶν, μὴ δὲ ἀδιαφορῶν τοῖς ἀλλοτρίοις ἀλγήμασιν. Οὐ μὴν περαιτέρω γε συνεκφέρεσθαι τοῖς λυπουμένοις προσῆκεν, ὥστε καὶ συνεκβοᾶν ἢ συνθρηνεῖν τῷ πεπονθότι, ἢ ἐν τοῖς ἄλλοις μιμεῖσθαι καὶ ζηλοῦν τὸν ἐσκοτωμένον ὑπὸ τοῦ πάθους. Οὔτε γὰρ ἰατρὸν ἐπαινῶ τὸν ἀντὶ τοῦ βοηθεῖν τοῖς κάμνουσιν αὐτὸν τῶν νοσημάτων ἐμπιπλάμενον, οὔτε κυβερνήτην ἀντὶ τοῦ κρατεῖν τῶν ἐμπλεόντων καὶ τοῖς πνεύμασι μάχεσθαι καὶ διαφεύγειν τὰ κύματα καὶ παραμυθεῖσθαι τοὺς δειλοτέρους ναυτιῶντα καὶ συναλύοντα τοῖς ἀπειροθαλαττίοις.

## *II²2891 / PMLᵇ cap. Ω 1, 22

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ·

Οὐχ' ὁ θεὸς ἔκτισε θάνατον, ἀλλ' ἡμεῖς ἑαυτοῖς ἐκ πονηρᾶς γνώμης ἐπεσπασάμεθα. Οὐ μὴν οὐδὲ ἐκώλυσε τὴν διάλυσιν, ἵνα μὴ ἀθάνατον ἡμῖν τὴν ἀρρωστίαν διατηρήσῃ. Ὥσπερ ἂν εἴ τις σκεῦος πήλινον διαρρυὲν μὴ καταδέχοιτο δοῦναι πυρί, ἕως ἂν τὸ ἐνυπάρχον αὐτῷ πάθος διὰ τῆς ἀναπλάσεως ἐξιάσαιτο.

---

**4 – 9** Οὔτε – ἀπειροθαλαττίοις] Basilius Caesariensis, re vera *Homilia in martyrem Iulittam*, 8 (PG 31, 256, 37–43) **12 – 16** ***II²2891** Basilius Caesariensis, re vera *Quod deus non est auctor malorum*, 7 (PG 31, 345, 11–18)

---

**11 – 16** ***II²2891** P cap. Ω 1, 22 (380vB[18]19–36); M cap. Ω 1, 22; $V^{W}$ cap. Ω 1, 22; R cap. Ω 1, 17; *deest in* $L^{b}$ E $T^{(lac.)}$ $H^{III}$

---

***II²2891** (a) P (b) Τοῦ αὐτοῦ M (c) Βασιλείου $V^{W}$ (d) Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ εὐχαριστίας R

---

**1** ἀλλοτρίοις] οἰκείοις E **1 – 9** Οὐ – ἀπειροθαλαττίοις] *om.* E **2** μήν γε περετερω M **3** ἢ[1]] η M, ἦν P πεπονθοντι M **7** πνεύμασι] κυμασιν M **8 – 9** συναλύοντα] *scripsi (ed.)*, συναλοίοντα P, -ωντα M **9** ἀπειροθαλάττοις *ed.* **12** Οὐχ' ὁ] οὐχι M **13** ἐπεσπασωμεθα M **14** διατηρήσει P

## *II$^{2}$2892 / PML$^{b}$ cap. Ω 1, 23

Τοῦ αὐτοῦ·

Ὅτι οὐκ ἐμπαθὲς ἦν τὸ δάκρυον τοῦ κυρίου ἐπὶ Λαζάρῳ, ἀλλὰ διδασκαλικόν, ἐκεῖθεν δῆλον. Φησὶ γάρ· *Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ πορεύομαι, ἵνα ἐξυπνίσω αὐτόν*. Τίς ἡμῶν κοιμώμενον ὀδύρεται φίλον, ὃν μικρὸν ὕστερον προσδοκᾷ διϋπνίζειν; *Λάζαρε, δεῦρο ἔξω*, καὶ ὁ νεκρὸς ἐζωοποιεῖτο, καὶ ὁ δεδεμένος περιεπάτει. Θαῦμα ἐν θαύματι, κηρείαις δεδέσθαι τοὺς πόδας, καὶ μὴ κωλύεσθαι πρὸς τὴν κίνησιν. Μεῖζον γὰρ ἦν τὸ ἐνισχύον τοῦ ἐμποδίζοντος. Πῶς οὖν ὁ τὰ τοιαῦτα ἐνεργεῖν μέλλων δακρύων ἄξιον τὸ συμβὰν ἔκρινεν; Ἢ δῆλον ὅτι πανταχόθεν ἡμῶν τὸ ἀσθενὲς ὑπερείδων, μέτροις τισὶ καὶ ὅροις τὰ ἀναγκαῖα περιέλαβε πάθη, τὸ μὲν ἀσυμπαθὲς ὡς θηριῶδες ἐκκλίνων, τὸ δὲ φιλόλυπον καὶ πολύθρηνον ὡς ἀγενὲς παραιτούμενος. Διόπερ ἐπιδακρύσας τῷ φίλῳ, αὐτός τε τὴν κοινωνίαν τῆς ἀνθρωπίνης φύσεως ἐπεδείξατο, καὶ ἡμᾶς τῶν ἐφ’ ἑκάτερα ὑπερβολῶν ἠλευθέρωσε· μήτε καταμαλακίζεσθαι πρὸς τὰ πάθη, μήτε ἀναισθήτως ἔχειν τῶν λυπηρῶν.

---

**4 – 5** Ioh. 11, 11 **7** Ibid. 11, 43 **7 – 8** ὁ$^{2}$ – περιεπάτει] cf. ibid. 11, 44

---

**3 – 17** ***II$^{2}$2892** Basilius Caesariensis, *Homilia de gratiarum actione*, 5 (PG 31, 228, 25–44)

---

**2 – 17** ***II$^{2}$2892** P cap. Ω 1, 23 ([380vB36]381rA1–381rB15); M cap. Ω 1, 23; V$^{W}$ cap. Ω 1, 23; R cap. Ω 1, 18; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

**3** λαζαρου M **5** ἵνα] *in mg.* V$^{W}$ ὑμῶν V$^{W}$ **8 – 17** Θαῦμα – λυπηρῶν] καὶ τὰ λοιπά V$^{W}$ **8** κηρείαις] *sic* R, κηρίαις P, κηριαις M, κειρίαις *ed.* **13 – 14** πολύθρονον R, φιλόθρινον M **15** αὐτὸς τὲ P, αυτος τε M ἐπεδείξατο] ἐπεδειξα P$^{a. c.}$ **16** τῶν] τῆς *(e corr.)* M$^{man. rec. ut videtur}$ ὑπερβολῶν] *scripsi (ed.)*, ὑπερβολῆν R$^{a. c.}$, ὑπερβολὴν R$^{p. c.}$, ὑπερβολὴ P, ὑπερβολη M$^{a. c.}$, ὑπερβολῆς M$^{p. c. man. rec. ut videtur}$

**II$^1$suppl. 420 / V cap. Ω 1, 20**

## *II$^2$2893 / PML$^b$ cap. Ω 1, 24

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ εἰς Καισάριον·

Πείθομαι σοφῶν λόγοις, ὅτι ψυχὴ πᾶσα καλή τε καὶ θεοφιλής, ἐπειδὰν τοῦ συνδεδεμένου λυθεῖσα σώματος ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μένοντος αὐτὴν κάλλους γενομένη, ἅτε τοῦ ἐπισκοτοῦντος νέφους ἀνακαθαρθέντος ἢ ἀποτεθέντος ἢ οὐκ οἶδ᾽ ὅτι καὶ λέγειν χρή, θαυμαστήν τινα ἡδονὴν ἥδεται καὶ ἀγάλλεται, καὶ ἵλεως χωρεῖ πρὸς τὸν ἑαυτῆς δεσπότην, ὥσπερ τί δεσμωτήριον χαλεπὸν τὸν ἐνταῦθα βίον ἀποφυγοῦσα καὶ τὰς περικειμένας πέδας ἀποσεισαμένη, ὑφ᾽ ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο, καὶ οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τὴν ἀποκειμένην μακαριότητα.

## *II$^2$2894 / PML$^b$ cap. Ω 1, 25

Ἐκ τοῦ αὐτοῦ·

Μὴ πενθῶμεν Καισάριον, οἵων ἀπηλλάγη κακῶν εἰδότες, ἀλλὰ μᾶλλον ἑαυτούς, οἵοις ὑπελείφθημεν, καὶ οἷα θησαυρίσομεν, εἰ μὴ γνησίως <θεῷ> προσθέμενοι καὶ παραδραμόντες τὰ παρατρέχοντα, πρὸς τὴν ἄνω ζωὴν ἐπειγόμεθα, ἔτι ὑπὲρ γῆς ὄντες καὶ καταλιπόντες τὴν γῆν, καὶ τῷ πνεύματι πρὸς τὰ ἄνω φέροντι

---

**3 – 12** *II$^2$2893 GREGORIUS NAZIANZENUS, *Funebris in laudem Caesarii fratris oratio (Orat. 7)*, 21, 2–12 (ed. Calvet-Sebasti, p. 232–234) **15 – 1283, 2** *II$^2$2894 GREGORIUS NAZIANZENUS, *Funebris in laudem Caesarii fratris oratio (Orat. 7)*, 20, 1–8 (ed. Calvet-Sebasti, p. 228–230)

---

**2 – 12** *II$^2$2893 P cap. Ω 1, 24 (381rB[15–16]17–381vA11); M cap. Ω 1, 24; R cap. Ω 1, 19; *deest in* L$^b$ V$^W$ E T$^{(lac.)}$ H$^{III}$ **14 – 1283, 2** *II$^2$2894 P cap. Ω 1, 25 (381vA [11]12–31); M cap. Ω 1, 25; E cap. 272, 15; R cap. Ω 1, 20; *deest in* L$^b$ V$^W$ T$^{(lac.)}$ H$^{III}$

---

*II$^2$2893 Τοῦ – Γρηγορίου] *om.* R γρηγοριου M ἐκ τοῦ] *om.* P κεσαριον M *II$^2$2894 (a) PM R Ἐκ] *om.* M (b) Θεολόγου E

---

**3** θεοφειλῆς P, θεοφιλῆς M **4** ἐνθένδε] ἐνδεν M$^{a.\,c.\,man.\,rec.}$ **6** γεννόμενη *(sic)* M$^{p.\,c.}$, γεννά- M$^{a.\,c.\,ut\,videtur}$ **8** ἵλεως] *scripsi (ed.)*, ἳλεως M, ἵλεω R, ἳλεω P ἑαυτοῦ R **9** ὥσπερ τί] ὡσπερεὶ R **10** τὸ] των M$^{a.\,c.}$, τω M$^{p.\,c.}$ **11** καθέλκετο P$^{a.\,c.}$ M **15** κεσσαρίον M **16** θησαυρίσωμεν (-ι- M) PM **16 – 1283, 2** εἰ – διάνοιαν] *om.* E **17** θεῷ] *supplevi (ed.)*, *om.* PM R **17 – 18** παρερχόμενα M **18** καὶ] *om.* M **19** καταλιποντες M, καταλείποντες P φεροντα M

ἀκολουθήσαντες. Ταῦτα καὶ ἀλγεινὰ τοῖς ὀλιγοψύχοις καὶ κοῦφα τοῖς ἀνδρικοῖς τὴν διάνοιαν.

## *II$^{2}$2895 / PML$^{b}$ cap. Ω 1, 26

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν ἑαυτοῦ πατέρα·

Ὅπερ ἐστὶ τοῖς πλέουσι λιμὴν εὔδιος, τοῦτο τοῖς ἐνταῦθα χειμαζομένοις ἡ ἐκεῖσε μετάστασις· ἢ ὥσπερ οἱ μακρὰν ὁδὸν προκαταλύσαντες, τῶν ὁδοιπορούντων καὶ μοχθούντων ἔτι ῥάους καὶ ἀπονώτεροι, οὕτως οἱ ἐπιτυχόντες τοῦ ἐκεῖσε καταλύματος, τῶν ἔτι τὴν σκολιὰν καὶ κρημνώδη τοῦ βίου τούτου τεμνόντων ὁδὸν ἀμείνους καὶ ἀνεκτότεροι, ὅτι τοῦ μὲν ἀπατηλοῦ καὶ ἀτάκτου καὶ ἀνωμάλου καὶ ὥσπερ ἐν κύμασιν ἄνω καὶ κάτω φερομένου καὶ φέροντος βίου ἀπηλλάγησαν, τῷ δὲ παγίῳ καὶ σταθερῷ καὶ ὡσαύτως ἔχοντι, πάσης ἐλευθέρῳ ταραχῆς καὶ συγχύσεως, προσετέθησαν.

---

**5 – 10** ***II$^{2}$2895** Ὅπερ – ἀνεκτότεροι] GREGORIUS NAZIANZENUS, *Funebris oratio in patrem (Orat. 18)*, 3 (PG 35, 988, 45 – 989, 4) **10 – 14** ὅτι – προσετέθησαν] IBID. (PG 35, 988, 34–39)

---

**4 – 14** ***II$^{2}$2895** P cap. Ω 1, 26 (381vA[32]33–381vB27); M cap. Ω 1, 26; V$^{W}$ cap. Ω 1, 24; E cap. 272, 16; R cap. Ω 1, 21; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2895** (a) PM R Τοῦ αὐτοῦ] *om.* PM (b) Γρηγορίου V$^{W}$ (c) *s. a.* E

---

**2** ἀνδρικοῖς] ἀνδρείοις R, αλγινοις M **5** ὅπέρ ἐστι V$^{W}$ E, ὅπερ *(*ὁ- M*)* ἐστι PM **6** ἐκεῖσε] εκιθεν M **6 – 14** ἢ – προσετέθησαν] *om.* E **7** ἔτι] εἰσὶ *(e corr.)* V$^{W}$ **8** ἐπιτυχον P$^{a. c.}$ ἔτι] *scripsi (*II$^{1}$983 / K cap. E 21, 5 *et ed.)*, ἐπὶ PM$^{a. c.}$ *(*ἔτι M$^{p. c. man. rec. ut videtur}$*)* V$^{W}$ R **9** τεμνόντων] τεμνοντην M$^{a. c.}$ **12** δὲ] γὰρ R παγίων M$^{a. c.}$ σταθηρῷ P V$^{W}$, σταθηρὸν M$^{a. c.}$, σταθηρὸ M$^{p. c.}$

## *II$^{2}$2896 / PML$^{b}$ cap. Ω 1, 27

Ἐκ τοῦ αὐτοῦ·

Τῷ καιρῷ τῆς τοῦ σώματος ἀπὸ τῆς ψυχῆς διαζεύξεως, οὐ συνδιασχίζεται τῷ συνθέτῳ τὸ ἀδιαίρετον, ἀλλὰ τὸ ἔμπαλιν γίνεται· τῇ γὰρ ἑνότητι τῆς θείας φύσεως, τῆς κατὰ τὸ ἶσον ἐν ἀμφοτέροις οὔσης, πάλιν πρὸς ἄλληλα τὰ διεστῶτα συμφύεται· καὶ οὕτως γίνεται ὁ θάνατος μὲν ἐκ τῆς τῶν συμπεφυκότων διαιρέσεως, ἡ δὲ ἀνάστασις ἐκ τῆς τῶν διαιρεθέντων ἑνώσεως.

## *II$^{2}$2897 / PML$^{b}$ cap. Ω 1, 28

Φίλωνος, ἐκ τοῦ περὶ ἄθλων καὶ ἐπιτιμίων λόγου·

Ἄνθρωποι μὲν γὰρ πέρας τιμωριῶν εἶναι νομίζουσι τὸν θάνατον, ἐν δὲ τῷ θείῳ δικαστηρίῳ μόγις οὗτος ἐστὶν ἀρχή.

## [PML$^{b}$ cap. Ω 1, 29]

Κατὰ Ματθαῖον, κεφαλαίου cξε′·

Γρηγορεῖτε ὅτι οὐκ οἴδατε – ὥραν.

---

**14 – 15 [PML$^{b}$ cap. Ω 1, 29]** cf. II$^{1}$2280 / K cap. Ω 1, 13

---

**3 – 8 *II$^{2}$2896** Gregorius Nazianzenus, re vera Gregorius Nyssenus, *De tridui inter mortem et resurrectionem domini nostri Iesu Christi spatio* (ed. Gebhardt, p. 293, 21 – 294, 4) **11 – 12 *II$^{2}$2897** Philo Iudaeus, *De praemiis et poenis*, 69 (ed. Cohn, p. 351, 16–17)

---

**2 – 8 *II$^{2}$2896** P cap. Ω 1, 27 (381vB[28]29–382rA12); M cap. Ω 1, 27; R cap. Ω 1, 22; *deest in* L$^{b}$ V$^{W}$ E T$^{(lac.)}$ H$^{III}$ **10 – 12 *II$^{2}$2897** P cap. Ω 1, 28 (382rA[12–13]14–19); M cap. Ω 1, 28; V$^{W}$ cap. Ω 1, 25; E cap. 272, 17; R cap. Ω 1, 43; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2896** Ἐκ] *om.* M ***II$^{2}$2897** (a) PM R φιλωνος M ἐπιτιμίων] *scripsi*, ἐπιτιμιων PM *(in* P *acc. super* μ *positus videtur)*, ἐπιτι$^{μ'}$ R λόγου] *om.* R (b) Φίλωνος V$^{W}$ E **[PML$^{b}$ cap. Ω 1, 29]** cξε′] *sic* P

---

**5** τῆς θείας] *om.* M ἴσον PM **7** ὁ] *om.* M πεφυκοτων P **11** νομιζουσιν εἶναι M **12** οὗτός ἐστιν E, οὕτως ἐστὶν R ἀρχή] *praem.* ἡ P V$^{W}$

## [PML$^{b}$ Ω 1, 30]

Κατὰ Λουκᾶν, κεφαλαίου ρνδ′·

Ἔστωσαν ὑμῶν αἱ ὀσφύες – ἔρχεται.

## *II$^{2}$2898 / PML$^{b}$ cap. Ω 1, 31 II$^{1}$2284 / K cap. Ω 1, 17

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ βαπτίσματος·

Προσήκει τὸν ἀρχόμενον τοῦ βίου ἐν ὀφθαλμοῖς ἔχειν τὴν τελευτήν.

## [PML$^{b}$ cap. Ω 1, 32]

Τοῦ αὐτοῦ·

Μηδείς σε ἐξαπατάτω κενοῖς – δεδομένῃ.

## [PML$^{b}$ cap. Ω 1, 33]

Εἰς τὸ κατὰ Λουκᾶν ῥητόν·

Νὺξ βαθεῖα, καὶ ἡ νόσος – γνώμην.

---

**2 – 3 [PML$^{b}$ Ω 1, 30]** cf. II$^{1}$2281 / K cap. Ω 1, 14 **9 – 10 [PML$^{b}$ cap. Ω 1, 32]** cf. II$^{1}$2285 / K cap. Ω 1, 18 **12 – 13 [PML$^{b}$ cap. Ω 1, 33]** cf. II$^{1}$2286 / K cap. Ω 1, 19

---

**6 – 7 *II$^{2}$2898** BASILIUS CAESARIENSIS, *Homilia exhortatoria ad S. baptisma*, 5 (PG 31, 432, 45–46)

---

**5 – 7 *II$^{2}$2898** P cap. Ω 1, 31 (382rB[24]25–28); M cap. Ω 1, 31; V$^{W}$ cap. Ω 1, 28; E cap. 272, 20; R cap. Ω 1, 26; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

[**PML$^{b}$ cap. Ω 1, 33**] λουκα P

II$^1$2287 / K cap. Ω 1, 20

## *II$^2$2899 / PML$^b$ cap. Ω 1, 34

Τοῦ αὐτοῦ, εἰς τὰς παρθένους·

Διδάσκει ἡμᾶς ὁ κύριος μὴ καταμελεῖν τῶν ἀναγκαίων, ἀλλὰ πρὸ καιροῦ παρεσκευασμένους τῆς ζωῆς τὰ ἐφόδια, ἐν τῇ ἑτοιμασίᾳ τῆς καρδίας ἀναμένειν τοῦ νυμφίου τὴν παρουσίαν. Αἱ φρόνιμοι γάρ φησι παρθένοι διὰ τὸ ἔχειν ἐν ταῖς λαμπάσι τὸ ἔλαιον, συνεισῆλθον τῷ νυμφίῳ, αἱ δὲ μωραὶ διὰ τὸ ἀνέτοιμον αὐτῶν, τῆς χαρᾶς τοῦ νυμφῶνος ἠλλοτριώθησαν.

II$^1$suppl. 419 / V cap. Ω 1, 17

## *II$^2$2900 / PML$^b$ cap. Ω 1, 35

Τοῦ αὐτοῦ, ἐκ τῆς Ἑξαημέρου·

Οὐ φιλοπονεῖς περὶ σεαυτοῦ, ἄνθρωπε; Οὐκ ἐν τῷ παρόντι αἰῶνι προαποτίθεσαι τὰς τοῦ μέλλοντος ἀναπαύσεις, πρὸς τὸ ὑπόδειγμα τοῦ μύρμηκος ἀποβλέψας; Ὅς ἐν τῷ θέρει τὴν χειμέριον τροφὴν ἑαυτῷ θησαυρίζει, καὶ οὐχ’ ὅτι μήπω πάρεστι τὰ τοῦ χειμῶνος λυπηρά, διὰ ῥαθυμίας παραπέμπει τὸν χρόνον, ἀλλὰ σπουδῇ τινὶ ἀπαραιτήτῳ πρὸς τὴν ἐργασίαν ἑαυτὸν κατατείνει, ἕως ἂν τὴν ἀρκοῦσαν τροφὴν ἐναπόθηται τοῖς ταμιείοις.

---

**5 – 8** Αἱ – ἠλλοτριώθησαν] cf. Matth. 25, 1–13

---

**3 – 8** ***II$^2$2899** Basilius Caesariensis, re vera *Homilia in principium Proverbiorum*, 6 (PG 31, 400, 26–33) **11 – 17** ***II$^2$2900** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, IX, 3 (ed. Mendieta†/Rudberg, p. 151, 10–16)

---

**2 – 8** ***II$^2$2899** P cap. Ω 1, 34 (382vB[26]27–383rA10); M cap. Ω 1, 34; V$^W$ cap. Ω 1, 29; R cap. Ω 1, 27; *deest in* L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **10 – 17** ***II$^2$2900** P cap. Ω 1, 35 (383rA[10]11–34); M cap. Ω 1, 35; R cap. Ω 1, 28; V$^W$ cap. Ω 1, 30; *deest in* L$^b$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^2$2899** (a) PM R (b) *s. a.* V$^W$ ***II$^2$2900** (a) PM R αὐτοῦ] θεολογου P, αγιου βασιλειου M (b) Θεολόγου *(*θεολ$^o$ *cod.)* V$^W$

---

**4** παρεσκευασμένους] *scripsi (ed.)*, παρασκευασμένους P V$^W$, παρασκευασαμένους R, παρασκευαζομενους M **5** φρονημοι PM V$^{W\ a.\ c.}$ **6** γὰρ φησὶν P τὸ$^2$] τὸν P M$^{a.\ c.}$ V$^{W\ a.\ c.}$ R$^{a.\ c.}$ **12** προἀποτίθεσθαι P, προαποτιθεσθαι M **12 – 13** ὑπόδειγμα] *add.* τὸ M **13** χειμερινὴν V$^W$ **14** οὐχ’] *om.* M **15** ραθυμιαν M **16** σπουδὴ τινι P, σπουδῆ τινι *(e corr.)* V$^W$, σπουδῆ τινη M κατὰτίνει P, κατατινι M **17** ἐναπόθηται] *scripsi (*II$^1$suppl. *et ed.)*, ἐναποθῆται V$^W$, ενάποθηται M, ἐναποθεῖται *(*-ει- P*)* P R ταμίοις P, ταμιοῖς M

## *II$^{2}$2901 / PML$^{b}$ cap. Ω 1, 36

**II$^{1}$2288 / K cap. Ω 1, 21**

Τοῦ αὐτοῦ, ἐκ τῆς ϙγʹ ἐπιστολῆς·

Μακαρία ψυχὴ ἡ νυκτὸς καὶ ἡμέρας μηδεμίαν ἄλλην μέριμναν τρέφουσα ἢ πῶς ἐπὶ τῆς μεγάλης ἡμέρας, καθ᾽ ἣν πᾶσα ἡ κτίσις περιστήσεται τὸν κριτήν, τὰς εὐθύνας τῶν πεπραγμένων ἀποδιδοῦσα <***>. Ὁ γὰρ ἐκείνην τὴν ἡμέραν καὶ τὴν ὥραν πρὸ ὀφθαλμῶν τιθέμενος καὶ ἀεὶ μελετῶν τὴν ἐπὶ τοῦ ἀπαραλογίστου κριτηρίου ἀπολογίαν, ὁ τοιοῦτος ἢ οὐδὲν ἢ παντελῶς ἐλάχιστα ἁμαρτήσεται, διότι τὸ ἁμαρτάνειν ἡμῖν κατὰ ἀπουσίαν τοῦ θείου φόβου γίνεται. Οἷς δ᾽ ἂν ἐναργὴς παρῇ τῶν ἀπειλουμένων ἡ προσδοκία, οὐδένα καιρὸν δώσει τοῖς τοιούτοις ὁ σύνοικος φόβος εἰς ἀβουλήτους πράξεις ἢ ἐνθυμήσεις ἐκπίπτειν.

## *II$^{2}$2902 / PML$^{b}$ cap. Ω 1, 37

**II$^{1}$2289 / K cap. Ω 1, 22**

Τοῦ Θεολόγου, εἰς Ἀθανάσιον·

Ἀνόνητα μεταγινώσκει τίς ἐπὶ ταῖς τελευταίαις ἀναπνοαῖς, ἡνίκα εὐγνώμων ἕκαστος τῶν ἑαυτοῦ κριτής, διὰ τὸ ἐκεῖ δικαστήριον.

---

**3 – 12** ***II$^{2}$2901** Basilius Caesariensis, *Epistulae*, CLXXIV, 12–23 (ed. Courtonne, II, p. 110) **15 – 16** ***II$^{2}$2902** Gregorius Nazianzenus, *In laudem Athanasii (Orat. 21)*, 26, 18–20 (ed. Mossay/Lafontaine, p. 164)

---

**2 – 12** ***II$^{2}$2901** P cap. Ω 1, 36 (383rA[34]35–383rB29); M cap. Ω 1, 36; V$^{W}$ cap. Ω 1, 31; E cap. 272, 22; R cap. Ω 1, 29; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$ **14 – 16** ***II$^{2}$2902** P cap. Ω 1, 37 (383rB[30]31–383vA1); M cap. Ω 1, 37; V$^{W}$ cap. Ω 1, 32; E cap. 272, 23; R cap. Ω 1, 23; *deest in* L$^{b}$ T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2901** (a) PM R Τοῦ αὐτοῦ] *om.* P R ϙγʹ] νζʹ M (b) Τοῦ αὐτοῦ V$^{W}$ (c) *s. a.* E
***II$^{2}$2902** (a) PM R Θεολόγου] αὐτοῦ R Ἀθανάσιον] αθανάσιον P, τον αγιον αθανασιον M (b) *s. a.* V$^{W}$

---

**3** ψυχὴ] *praem.* ἡ M **4** στρέφουσα *(*-ε- M*)* M E ἢ] οὐ E$^{\text{ut videtur}}$ **5** παραστήσεται E τῶ κριτη M **5 – 6** *post* ἀποδιδοῦσα *quaedam excidisse videntur (*καὶ αὐτὴ δυνηθῇ κούφως ἀποθέσθαι τὸν λόγον τῶν βεβιωμένων *ed.)* **7** ἀπαραλογίς P$^{\text{a. c.}}$ **8** ὁ τοιοῦτος] ὁ γαρ τοιουτον M, *sed punctis superne inferneque notata* **10** Οἷς] *sic* E, ὧ P V$^{W}$ R, ὧι M **15** ἀνώνητα *(*-ω- P*)* P V$^{W}$, ἀνώνιτα M μεταγινώσκει *(*-ειν *a. c.)* τις P, καταγινώσκει τίς R

$\Pi^1$2290 / K cap. Ω 1, 23

## *$\Pi^2$2903 / PML$^b$ cap. Ω 1, 38

Εἰς ἑαυτόν·

Ἔκδεξαι τὴν διάλυσιν ὥσπερ προθεσμίαν ἀναγκαίας ἐλευθερίας καὶ τοῦ ἵλεως πρὸς τὰ ἑξῆς μεταβήσεσθαι, ἔνθα οὐκ ἔστιν ἄωρος οὐδὲ πρεσβύτης, ἀλλὰ πάντες τὴν πνευματικὴν ἡλικίαν τέλειοι.

$\Pi^1$2291 / K cap. Ω 1, 24

## *$\Pi^2$2904 / PML$^b$ cap. Ω 1, 39

Τοῦ αὐτοῦ, ἐκ τῶν Γνωμῶν·

Ἀεὶ μὲν ἐργάζοιο τὴν σωτηρίαν·
Καιρὸς δὲ δὴ μάλιστα, ἡ βίου λύσις.
Τὸ γῆρας ἦλθεν, ἔξοδον κῆρυξ βοᾷ.
Πᾶς εὐτρεπίζου.

**3 – 5** ***$\Pi^2$2903** Gregorius Nazianzenus, *In seipsum, cum rure rediisset, post ea quae a Maximo perpetrata fuerant (Orat. 26)*, 11, 7–10 (ed. Mossay/Lafontaine, p. 252) **8 – 11** ***$\Pi^2$2904** Gregorius Nazianzenus, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 229–232 (PG 37, 945, 3–6)

**2 – 5** ***$\Pi^2$2903** P cap. Ω 1, 38 (383vA[2]3–12); M cap. Ω 1, 38; V$^W$ cap. Ω 1, 33; R cap. Ω 1, 24; *deest in* L$^b$ E T$^{(lac.)}$ H$^{III}$ **7 – 11** ***$\Pi^2$2904** P cap. Ω 1, 39 (383vA[12]13–18); M cap. Ω 1, 39; V$^W$ cap. Ω 1, 34; E cap. 272, 24; R cap. Ω 1, 25; *deest in* L$^b$ T$^{(lac.)}$ H$^{III}$

***$\Pi^2$2903** (a) PM R εαυτο M (b) *s. a.* V$^W$ ***$\Pi^2$2904** Τοῦ αὐτοῦ] *om.* PM E ἐκ – Γνωμῶν] *om.* E

**3** ἐδεξαι M$^{a. c.}$ **4** ἵλεως PM **8** Ἀεὶ] εἰ P **10** ἔξοδον κῆρυξ] ο κήρυξ ἔξοδον M βόα E

## *II$^{2}$2905 / PML$^{b}$ cap. Ω 1, 40

**II$^{1}$suppl. 421 / V cap. Ω 1, 24**

Τοῦ ἁγίου Γρηγορίου Νύσσης, εἰς τὸ *Πάτερ ἡμῶν*·

Τίς οὐκ οἶδε τὸ αἴνιγμα τῆς θείας Γραφῆς, τῆς λεγούσης *διὰ θυρίδος εἰσεληλυθέναι* τὸν *θάνατον*; Τὰς γὰρ αἰσθήσεις, δι᾽ ὧν ἐκκύπτουσα ἡ ψυχὴ πρὸς τὰ ἔξω πράγματα, τῶν κατὰ γνώμην ἀντιλαμβάνεται, *θυρίδας* ἡ Γραφὴ προσηγόρευσεν· ἃς ὁδοποιεῖν τῷ θανάτῳ τὴν εἴσοδον ὁ λόγος φησίν.

## *II$^{2}$2906 / PML$^{b}$ cap. Ω 1, 41

**II$^{1}$suppl. 422 / V cap. Ω 1, 25**

Νείλου μοναχοῦ·

Ἑτοιμάζου πρὸς τὰ λυπηρά, καὶ κερδαίνεις τὰ πλείονα.

---

**3 – 4** Ier. 9, 21 **6** θυρίδας] Ibid.

---

**3 – 7** ***II$^{2}$2905** Gregorius Nyssenus, *In illud:* Pater noster *(Matth. 6, 9) (De oratione dominica)*, V (ed. Callahan, p. 67, 8–13) **10** ***II$^{2}$2906** Nilus Asceta (Hesychius Hierosolymitanus), *Sententiae*, 9 (PG 79, 1241, 8–9)

---

**2 – 7** ***II$^{2}$2905** P cap. Ω 1, 40 (383vA[mg]19–33); M cap. Ω 1, 40; V$^{W}$ cap. Ω 1, 35; R cap. Ω 1, 30; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ **9 – 10** ***II$^{2}$2906** P cap. Ω 1, 41 (383vA34–36); M cap. Ω 1, 41; V$^{W}$ cap. Ω 1, 36; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$ R

---

***II$^{2}$2905** (a) R (b) Εἰς τὸ Πάτερ ἡμῶν, τοῦ Νύσης *(*νυσης *cod.)* M (c) Εἰς τὸ Πάτερ ἡμῶν P V$^{W}$ ***II$^{2}$2906** (a) M Νείλου] *scripsi*, νηλου M (b) *s. a.* V$^{W}$ (c) *propt. mg. resect. non liquent in* P

---

**3 – 4** θυρίδος] *praem.* της M **4 – 5** ἐκκαλύπτουσα P V$^{W}$, ἐγκαλύπτουσα M$^{a. c. ut videtur}$, ἐγκύπτουσα M$^{p. c.}$

## *II$^{2}$2907 / PML$^{b}$ cap. Ω 1, 42

Ἰωσήππου, ἐκ τοῦ λόγου τοῦ ἐπιγεγραμμένου κατὰ Πλάτωνος περὶ τῆς τοῦ παντὸς αἰτίας·

Καὶ οὗτος μὲν ὁ περὶ δαιμόνων λόγος· περὶ δὲ Ἅδου, ἐν ᾧ συνέχονται ψυχαὶ *δικαίων τὲ καὶ ἀδίκων*, ἀναγκαῖον εἰπεῖν. Ὁ Ἅδης τόπος ἐστὶν ἐν τῇ κτίσει ἀκατασκεύαστος, χωρίον ὑπόγειον, ἐν ᾧ φῶς κόσμου οὐκ ἐπιλάμπει. Φωτὸς τοίνυν ἐν τούτῳ τῷ χωρίῳ μὴ καταλάμποντος, ἀνάγκη σκότος διηνεκῶς τυγχάνειν. Τοῦτο τὸ χωρίον ὡς φρούριον ἀπενεμήθη ψυχαῖς· ἐφ' ᾧ κατεστάθησαν ἄγγελοι φρουροί, πρὸς τὰς ἑκάστου πράξεις διανέμοντες <***> τάς τε τῶν τρόπων προσκαίρους κολάσεις. Ἐν τούτῳ δὲ τῷ χωρίῳ τόπος ἀφώρισταί τις *λίμνης πυρὸς* ἀσβέστου, ἐν ᾧ μὲν οὐδέπω τινὰ καταρερίφθαι ὑπειλήφαμεν, ἐσκευάσθαι δὲ εἰς τὴν προωρισμένην ἡμέραν ὑπὸ τοῦ θεοῦ, ἐν ᾗ δικαίας κρίσεως ἀπόφασις μία

---

**4 – 1292, 7** περὶ$^{2}$ – ὥρισεν] exstat etiam in *Florilegio Patmiaco*, cap. 47, 46 (ed. Sargologos, p. 875–876) **4 – 1291, 21** περὶ$^{2}$ – ἑλκόμενοι] exstat etiam in *FC*, A 93 (ed. Fernández, p. 134–135) **5** Act. 24, 15 **12** Apoc. 20, 14

---

**4 – 1295, 19** ***II$^{2}$2907** PS.-FLAVIUS IOSEPHUS, *Contra Platonem de universi causa*, re vera HIPPOLYTUS ROMANUS, *De universo*; Holl, n° 353

---

**2 – 1295, 19** ***II$^{2}$2907** P cap. Ω 1, 42 (383vB[1–3]4–385vA18); M cap. Ω 1, 42; V$^{W}$ cap. Ω 1, 37; R cap. Ω 1, 42; *deest in* L$^{b}$ E T$^{(lac.)}$ H$^{III}$

---

***II$^{2}$2907** (a) PM ϊωσήππου P, ϊωσιππου M επιγεγραμμενο M κατὰ] *om.* M πλατωνος M αἰτίας] αιτία P, *add.* και κατα ελληνων M (b) Ἰωσήππου *(*ἰωση$^{ππ}$ *cod.)*, ἐκ τοῦ λόγου τοῦ ἀναγεγραμμένου κατὰ Πλάτωνος *(*πλάτ$^{ω}$ *cod.)* R (c) Ἰωσήππου *(*ἰωση$^{ππ}$ *cod.)* V$^{W}$

---

**4** μὲν] *om.* V$^{W}$ δαιμόνων] *praem.* των M δὲ] *om.* M *(s. l. supplev.* δὲ τοῦ *man. rec.)* ᾅδου R, άδου P, αδου M **5** ψυχαὶ] *praem.* αι M τὲ] *om.* M άδης P, αδης M **6** ϋπόγιον P, ὑπόγαιον *(spir. et acc. e corr. man. rec.)* M **7** κόσμου] *om.* M ἐπιλάμπει – τοίνυν] επιλαμπι φωτος· τοίνῦν M **8** καταλάμποντος] *add.* φωτος M **8 – 9** τυγχάνειν – χωρίον] τουτο τυγχανειν το χωρίον. M **9** ὡς] ὃ ὡς PM$^{p. c.}$ V$^{W\ a. c.\ ut\ videtur}$, ὁς M$^{a. c.}$ ἐφ' ᾧ] ἐνω M κατεστάθησαν] κατεστησαν M **10** εκαστου M, ἑκάστων *(*ἑ- P*)* P V$^{W}$ *post* διανέμοντες *quaedam excidisse videntur* **10 – 11** τάς τε] τας τε M, τὰς R **11** τρόπων] τόπων R **12** τόπος] *in mg.* V$^{W}$ ἀφώρισται τίς P, ἀφωρισται τῆς M λίμνη V$^{W\ a. c.}$ **12 – 13** οὐδέπω τινὰ] οὐδπω *(sic)* τινὰ P, οὐδένα οὐδέπω M **13 – 1292, 15** καταρερίφθαι – ἀνίστασθαι] *a* -ρίφθαι *desunt in* P$^{(lac.)}$ **13** καταρερρίφθαι R, κατερρίφθαι *(*-ρί- *e corr.)* V$^{W}$ ἐσκευᾶσθαι V$^{W}$, εσκευάσθε M, σκευᾶσθαι R **14** ὑπὸ] παρὰ R τοῦ θεοῦ] κυρίου V$^{W}$

πᾶσιν ἀξίως προσενεχθῇ, καὶ οἱ μὲν ἄδικοι καὶ θεῷ ἀπειθήσαντες, τά τε μάταια ἔργα χειρῶν ἀνθρώπων, κατεσκευασμένα εἴδωλα, ὡς θεὸν τιμήσαντες, ταύτης τῆς ἀϊδίου κολάσεως, ὡς αἴτιοι μιασμάτων γενόμενοι, προσκριθῶσιν, οἱ δὲ δίκαιοι τῆς ἀφθάρτου καὶ ἀνεκλείπτου βασιλείας τύχωσιν, οἳ ἐν τῷ Ἅδῃ νῦν μὲν συνέχονται, ἀλλ’ οὐ τῷ αὐτῷ τόπῳ ὡς καὶ οἱ ἄδικοι. Μία γὰρ εἰς τοῦτο τὸ χωρίον κάθοδος, οὗ τῇ πύλῃ ἐφεστῶτα ἀρχάγγελον ἅμα στρατιᾷ πεπιστεύκαμεν· ἣν πύλην διελθόντες οἱ καταγόμενοι ὑπὸ τῶν ἐπὶ τὰς ψυχὰς τεταγμένων ἀγγέλων, οὐ μιᾷ ὁδῷ πορεύονται, ἀλλ’ οἱ μὲν δίκαιοι εἰς δεξιὰ φωταγωγούμενοι καὶ ὑπὸ τῶν ἐφεστώτων κατὰ τόπον ἀγγέλων ὑμνούμενοι, ἄγονται εἰς χωρίον φωτεινόν, ἐν ᾧ οἱ ἀπ’ ἀρχῆς δίκαιοι πολιτεύονται, οὐχ’ ὑπ’ ἀνάγκης κρατούμενοι, ἀλλὰ τῆς τῶν ὁρωμένων ἀγαθῶν θέας ἀεὶ ἀπολαύοντες, καὶ τῇ τῶν ἑκάστοτε καινῶν ὁρωμένων προσδοκίᾳ ἡδόμενοι, κἀκεῖνα τούτων βελτίονα ἡγούμενοι· οἷς ὁ τόπος οὐ καματηφόρος γίνεται· οὐ καύσων, οὐ κρύος, οὐ τρίβολος ἐν αὐτῷ, ἀλλ’ ἡ τῶν πατέρων δικαίων τὲ ὁρωμένη ὄψις πάντοτε μειδιᾷ, ἀναμενόντων τὴν μετὰ τοῦτο τὸ χωρίον ἀνάπαυσιν καὶ αἰωνίαν βίωσιν ἐν οὐρανῷ· τοῦτον δὲ ὀνόματι κληΐζομεν *κόλπον Ἀβραάμ*. Οἱ δὲ ἄδικοι ἀριστερὰ ἕλκονται ὑπὸ ἀγγέλων κολαστῶν, οὐκέτι ἑκουσίως πορευόμενοι, ἀλλὰ μετὰ βίας ὡς δέσμιοι ἑλκόμενοι· οἷς οἱ ἐφεστῶτες ἄγγελοι ἐπιγελῶντες διαπέμπονται, ἐπονειδίζοντες καὶ φοβερῷ ὄμματι ἐπαπειλοῦντες καὶ εἰς τὰ κατώτερα μέρη ὠθοῦντες· οὓς ἀγομένους ἕλκουσιν οἱ ἐφεστῶτες, ἕως πλησίον τῆς γεέννης. Οἱ ἐγγίονες ὄντες, τοῦ μὲν βρασμοῦ ἀδιαλείπτως ἐπακούουσι καὶ τοῦ τῆς θέρμης ἀτμοῦ οὐκ ἀμοιροῦσιν, αὐτῆς δὲ τῆς ἐγγίονος ὄψεως τὴν φοβερὰν καὶ ὑπερβαλλόντως ξανθὴν θέαν τοῦ πυρὸς ὁρῶν-

**19** Luc. 16, 22

**1** προσενεχθήσεται V$^{W}$, προσἐδιχθει M **4** προκριθῶσιν R V$^{W\ a.\,c.}$ **4 – 5** ἀνεκλείπτου] ἀνεκλαλιτου M **5** ᾄδη R, αδη M **6** τόπῳ ὡς] τροπω ὧM ἄδικοι] M$^{p.\,c.}$ V$^{W}$, δίκαιοι M$^{a.\,c.}$ R γὰρ] *add.* η M **7** τῆς πύλης (*sine acc.* M) M V$^{W}$ **9** μιᾶ M V$^{W}$ **11** κατατοπους M, κατὰ τόπων V$^{W\ a.\,c.}$ **12** ὑπ’] ὑπο M **13** θέας] θεωρίας R **14** καινῶν] κοινων M **14 – 15** κἀκεῖνα – ἡγούμενοι] *om.* M **18** τὸ] *s. l. add.* M αἰωνίαν βίωσιν] αἰωνιον αἰωσιν (*sic*) M **19** τοῦτον – Ἀβραάμ] *om.* R κλίζομεν V$^{W}$, κλιζομεν M$^{a.\,c.}$ κολπον αβρααμ M, ἀβραὰμ κόλπον V$^{W}$ **20** ἀριστερὰ] ἀριστερᾶ V$^{W}$, *om.* M **21** ἀλλὰ] αλλη M$^{a.\,c.}$, ἀλλῆ M$^{p.\,c.\ man.\ rec.}$ οἱ] *om.* M **22** επιγελῶνταις M, ἐπιτελοῦντες V$^{W}$ **23** καὶ] *om.* M V$^{W}$ μέρη] *om.* M V$^{W}$ ὠθοῦσιν V$^{W}$ **24** Οἱ] οἳ R, οι M$^{a.\,c.\ ut\ videtur}$, ἧς M$^{p.\,c.}$ **25** αλειπτῶς M$^{a.\,c.}$ **26** απομοιροῦσιν M **27** ξανθὴν] ἐξανθεῖν V$^{W}$

τες, καταπεπλήγασι, τῇ προσδοκίᾳ τῆς μελλούσης κρίσεως ἤδη δυνάμει κολαζόμενοι. Ἀλλὰ καὶ οὗτοι τὸν τῶν δικαίων χῶρον καὶ τοὺς δικαίους ὁρῶσι, καὶ ἐπ᾽ αὐτῷ τούτῳ κολαζόμενοι· χάος γὰρ βαθὺ καὶ μέγα ἀναμέσον ἐστήρικται, ὥστε μήτε δίκαιον συμπαθήσαντα προσδέξασθαι, μήτε ἄδικον τολμήσαντα διελθεῖν. Οὗτος ὁ περὶ Ἅδου λόγος, ἐν ᾧ αἱ ψυχαὶ πάντων κατέχονται ἄχρι καιροῦ ὃν ὁ θεὸς ὥρισεν, ἀνάστασιν τότε πάντων ποιησόμενος, οὐ ψυχὰς μετενσωματῶν, ἀλλ᾽ αὐτὰ τὰ σώματα ἀνιστῶν, ἃ ἀεὶ λελυμένα ὁρῶντες εἰ ἀπιστεῖτε, Ἕλληνες, μάθετε μὴ ἀπιστεῖν. Τὴν γὰρ ψυχὴν γενητὴν καὶ ἀθάνατον ὑπὸ θεοῦ γεγονέναι πιστεύσαντες κατὰ τὸν Πλάτωνος λόγον, χρόνῳ μὴ ἀπιστήσητε <ὡς> καὶ τὸ σῶμα ἐκ τῶν αὐτῶν στοιχείων σύνθετον γενόμενον δυνατὸς ὁ θεὸς ἀναβιώσας, ἀθάνατον ποιεῖν· οὐ γὰρ τὸ μὲν δυνατός, τὸ δὲ ἀδύνατος ῥηθήσεται περὶ θεοῦ. Ἡμεῖς μὲν οὖν καὶ σῶμα ἀνίστασθαι πεπιστεύκαμεν. Εἰ γὰρ καὶ φθείρεται, ἀλλ᾽ οὐκ ἀπόλλυται· τούτου γὰρ τὰ λείψανα γῆ ὑποδεξαμένη τηρεῖ, καὶ δίκην σπόρου πιαινομένου καὶ τῷ γῆς λιπαρωτέρῳ συμπλεκομένου ἀνθεῖ. Καὶ τὸ μὲν σπαρὲν κόκκος γυμνὸς σπείρεται, καὶ κελεύσματι τοῦ δημιουργήσαντος θεοῦ θάλλων, ἠμφιεσμένος καὶ ἔνδοξος ἐγείρεται, οὐ πρότερον εἰ μὴ ἀποθανὼν λυθῇ καὶ γῇ συμμιγῇ· ὥστε τὴν ἀνάστασιν τοῦ σώματος οὐ μάτην πεπιστεύκαμεν, ἀλλ᾽ εἰ καὶ λύεται πρὸς καιρὸν διὰ τὴν ἀπ᾽ ἀρχῆς γενομένην παρακοήν, ὡς εἰς χω-

---

**9 – 11** Τὴν – λόγον] cf. e. g. Plat., *Phaedr.*, 246a1–2 **14 – 1293, 11** Ἡμεῖς – κριθήσονται] exstat etiam in I / C cap. A 10, 47 (Irenaeo <Lugdunensi> attributus) **17 – 20** Καὶ – συμμιγῇ] cf. Ioh. 12, 24 **20 – 21** ὥστε – πεπιστεύκαμεν] cf. I Cor. 15, 17

---

**2** χορὸν $V^{W}$ **2 – 3** καὶ$^2$ – δικαίους] *post* ὁρῶσι *transpos.* M **3** αὐτὸ τοῦτο $V^{W}$ **4** μήτε] μὴ $V^{W}$, μη $M^{a.\,c.}$ **5** οὗτος M, οὕτως R **6** αδου M αἱ] *om.* $V^{W}$ **7** τοτε ἀναστασιν M ποιησάμενος R **8** μετενσωματῶν] μετευσωματων $M^{a.\,c.\,ut\,videtur}$, ἄνευ σωματων $M^{p.\,c.\,man.\,rec.}$ ἀλλα M ἃ] *om.* $V^{W}$ ἀεὶ] *om.* $V^{W}$ R **9** εἰ] *om.* M $V^{W}$ **10** γενητὴν] γεννητὴν M ὑπὸ θεοῦ] *post* γεγονέναι *transpos.* M θεοῦ] *praem.* τοῦ $V^{W}$ πιστεύοντες M **11** πλάτονος $V^{W}$ χρόνῳ – ἀπιστήσητε] μὴ ἀπιστειται χρονω M ὡς] *sic Margunius/Hoeschelius (ed. 1601), om.* PM $V^{W}$ R καὶ] *add.* γὰρ M **13** ἀναβιῶσαν M ποιησαι M **13 – 1295, 19** οὐ – αὐτόν] *om.* R **13** γὰρ] *om.* $V^{W}$ δυνατῶς $V^{W}$ **14** ἀδύνατως $V^{W}$ περὶ] *praem.* καὶ $V^{W}$ μὲν] *om.* $V^{W}$ **15** καὶ] *om.* P $V^{W}$ απολλυνται P **16** γῆ] *praem.* ἡ M **17** πιαινομένου] πενομένου P συμπλεκωμενου M, συμπλεκομένω *(*συν- P*)* P $V^{W}$ ἀνθει P, ἄνθει $V^{W}$, ανθη M **18** καὶ] *om.* P $V^{W\,a.\,c.}$ κελεύσματι] *praem.* τῶ M **19** θάλλων] θαττον M **22** πρόσκαιρον PM $V^{W\,a.\,c.}$, προσκαιρὸν $V^{W\,p.\,c.}$ γεναμενην M

νευτήριον εἰς γῆν καθίσταται, πάλιν ἀναπλασθησόμενον, οὐ τοιοῦτον – φθειρόμενον –, ἀλλὰ καθαρὸν καὶ μηκέτι φθειρόμενον, ὡς ἑκάστῳ σώματι ἡ ἰδία ψυχὴ ἀποδοθήσεται· καὶ τοῦτο ἐπενδυσαμένη, οὐκ ἀνιαθήσεται, ἀλλὰ συγχαρήσεται, καθαρὰ καθαρῷ παραμείνασα, ὡς ἐν τῷ κόσμῳ †νῦν δικαίως† συνοδεύσασα· καὶ μὴ ἐπίβουλον ἐν πᾶσιν ἔχουσα, μετὰ πάσης ἀγαλλιάσεως ἀπολήψεται. Οἱ δὲ ἄδικοι οὐκ ἀλλοιωθέντα τὰ σώματα, οὐδὲ πάθους ἢ νόσου μεταστάντα, οὐδὲ ἐνδοξασθέντα ἀπολήψονται, ἀλλ᾽ ἐν οἷς νοσήμασιν ἐτελεύτων, καὶ ὁποῖα ἦν, τοιαῦτα ἀναβιώσαντα ἐπενδύσονται, καὶ ὁποῖοι ἐν ἀπιστίᾳ γεγένηνται, τοιοῦτοι πιστῶς κριθήσονται. Πάντες γάρ, *δίκαιοί τε καὶ ἄδικοι*, ἐνώπιον τοῦ θεοῦ λόγου ἀχθήσονται· τούτῳ γὰρ *ὁ πατὴρ τὴν πᾶσαν κρίσιν δέδωκε*, καὶ αὐτὸς βουλὴν πατρὸς ἐπιτελῶν, κριτὴς παραγίνεται, ὃν Χριστὸν προσαγορεύομεν <***>. Οὐδὲ γὰρ Μίνως καὶ Ῥαδάμανθυς κριταί, οἱ καθ᾽ ὑμᾶς, Ἕλληνες, ἀλλ᾽ ὃν ὁ θεὸς καὶ πατὴρ ἐδόξασε, περὶ οὗ ἐν ἑτέροις λεπτομερέστερον διεληλύθαμεν πρὸς τοὺς ἐπιζητοῦντας τὴν ἀλήθειαν. Οὗτος τὴν πατρὸς εἰς πάντας δικαιοκρισίαν ποιούμενος, ἑκάστῳ κατὰ τὰ ἔργα παρεσκεύασε τὸ δίκαιον· οὗ κρίσει παραστάντες οἱ πάντες, ἄνθρωποί τε καὶ ἄγγελοι καὶ δαίμονες, μίαν ἀποφθέγξονται φωνήν, οὕτως λέγοντες· Δικαία σου ἡ κρίσις· ἧς φωνῆς τὸ ἀνταπόδομα ἐπ᾽ ἀμφοτέροις τὸ δίκαιον ἐπάγει, τοῖς μὲν εὖ πράξασι δικαίως τὴν ἀΐδιον ἀπόλαυσιν παρέχοντος, τοῖς δὲ τῶν φαύλων ἐρασταῖς τὴν αἰώνιον κόλασιν

**11 – 1294, 9** Πάντες – φροντίς] exstat etiam in I / C cap. A 12, 57 (Meletio Antiocheno attributus) **11 – 1294, 3** Πάντες – παραμένει] exstat etiam ap. Ioh. Zon., *Epitome historiarum*, VI, cap. IV (ed. Dindorf, II, p. 13, 4–23 [<Flavio> Iosepho attributus]) **11** Act. 24, 15 **12** Ioh. 5, 22 **14 – 15** Μίνως – κριταί] cf. e. g. Plat., *Apol.*, 41a1–3

**1** καθίσταται] καθίεται M **2** φθειρόμενον$^{1}$] ἀνιστάμενον *Margunius/Hoeschelius (ed. 1601)* ἀλλὰ – φθειρόμενον$^{2}$] *in mg.* V$^{W}$ **3** ἑκάστῳ] ενεκαστω M ἡ] *s. l.* M **4** συγχαρησηται P, συγχαριεῖται M **5** †νῦν δικαίως†] *cruces apposui, sic* PM V$^{W}$, *forsan* νύμφη, νυμφίῳ δικαίῳ *legendum (cf.* I / C cap. A 10, 47*)* **7** ἀλλοιοθέντα P, αλοιωθεντες M$^{a. c.}$, αλοιωθέντα M$^{p. c. man. rec. ut videtur}$ **8** ἀλλα M V$^{W}$ **9** ἐτελευτον P, ετελευτησαν M **9 – 10** καὶ – ἐπενδύσονται] *om.* P V$^{W}$ **9** ἀναβιώσαντα] *sic* M, *forsan* ἀναβιώσαντες *legendum* **10** ὁποια M **12** πᾶσαν κρίσιν] κρίσιν πᾶσαν P V$^{W}$ **14** προσαγορεύομεν] προσάγορευομενον P, προσαγορεύομεν θεὸν ἐνανθρωπήσαντα I / C cap. A 12, 57 μηνοως P, μήνως V$^{W}$ ῥαδαμανθυς M **17** ουτῶς M **21** ἧς] τῆς P$^{a. c.}$ **21 – 22** τὸ δίκαιον] *post* ἐπάγει *transpos.* P V$^{W}$ **22** ἐπάγει] ἄγει V$^{W\ p. c.}$ εὐπραξασι P, εὔπραξασιν M **23** παρασχόντος P V$^{W}$

ἀπονέμοντος· καὶ τούτοις μὲν *τὸ πῦρ ἄσβεστον* διαμένει καὶ ἀτελεύτητον, *σκώληξ* δέ τις ἔμπυρος *μὴ τελευτῶν*, μὴ δὲ σῶμα διαφθείρων, ἀπαύστῳ ὀδύνῃ ἐκ σώματος ἐκβράσσων παραμένει. Τούτους οὐχ' ὕπνος ἀναπαύσει, οὐ νὺξ παρηγορήσει, οὐ θάνατος τῆς κολάσεως ἀπολύσει, οὐ παράκλησις συγγενῶν μεσιτευσάντων ὀνήσει. Οὐ γὰρ ἔτι δίκαιοι ὑπ' αὐτῶν ὁρῶνται, οὐδὲ μνήμης γίνονται ἄξιοι, μόνοι δὲ οἱ δίκαιοι δικαίων μεμνήσονται ἔργων, δι' ὧν ἐπὶ τὴν οὐράνιον βασιλείαν κατήντησαν, ἐν ᾗ οὐ πόνος, οὐ λύπη, οὐ φθορά, οὐ φροντίς, οὐδὲ νύξ, οὐδ' ἡμέρα χρόνῳ μετρουμένη, οὐχ' ἥλιος ἀνάγκῃ κύκλον οὐρανοῦ δρόμῳ ἐλαυνόμενος, οὐκ ἄγγελοι ὡρῶν μέτρα ἢ κέντρα πρὸς εὔγνωστον ἀνθρώπων βίον διαμετρούμενα ὁροθετοῦντες, οὐ σελήνη φθίνουσα ἢ αὔξουσα ἢ τροπὰς καιρῶν ἐπάγουσα, οὐχ' ὑγραίνουσα γῆν, οὐδὲ ἥλιος ἐπικαίων, οὐκ Ἄρκτος στρεφομένη, οὐκ Ὠρίων γεννώμενος, οὐκ ἄστρων πλάνη ἐνάριθμος, οὐδὲ πλανητῶν ζήτησις ἀνάριθμος, οὐ δύσβατος γῆ, οὐδὲ δυσεύρετος παραδείσου πύλη, οὐδὲ δεινὸν θαλάσσης φρύαγμα, κωλύον ἐπιβάντα πατεῖν, εὔβατος δὲ καὶ αὕτη τοῖς δικαίοις γενήσεται, οὔτε τοῦ ὑγροῦ στερουμένη, οὐδὲ τοῦ στερροῦ, διὰ τὸ κοῦφον τοῦ ἴχνους πατουμένη, οὐκ οὐρανὸς ἀοίκητος ἀνθρώποις, οὐδὲ τούτου ὁδὸς ἀναβάσεως ἀνεύρετος, οὐ γῆ ἀνέργαστος, οὐδὲ ἀνθρώποις ἐπίπονος, αὐτόματος δὲ φύουσα καρποὺς πρὸς εὐκοσμίαν ᾗ προστάξει ὁ δεσπόζων, οὐ θηρίων γένεσις πάλιν, οὐδὲ τῶν λοιπῶν ζώων ἐκβρασσομένη οὐσία. Οὐδὲ γὰρ ἀνθρώποις πάλιν γέννα, ἀλλ' ὁ τῶν δικαίων ἀριθμὸς διαμέ-

**1** Marc. 9, 43 **2** Ibid. 9, 48; Is. 66, 24

**1** ἀπονείμαντος $V^{W}$, ἀπὸνίμαντος P   διαμενῆ M   **2** μὴ δὲ] μητε PM   **3** ἀπαύστῳ ὀδύνῃ] *scripsi (cf.* I / C cap. A 12, 57*)*, ἀπαύστω (-ως *a. c. ut videtur)* ὀδύνη $V^{W}$, ἀπαυστῶς οδύνην M, ἀπαυστως ὁδύνη P   ἐκβράσσων] *sic* $V^{W\ p.c.}$ *(cf.* I / C cap. A 12, 57*)*, ἐκβράζων *(*-α- M*)* PM $V^{W\ a.c.}$   **4** οὐ[1]] *praem.* τουτους M   **7** μεμνησωντα $P^{a.c.}$, μεμνησωνται $P^{p.c.}$ M   **8** ουρανιων M   οὐ πόνος] ὁ ὕπνος *(*ΰ- P*)* P $V^{W}$   **9** οὐδ'] οὐδὲ $V^{W}$, ουδε P   **9 – 10** χρωνου μετρημενη M   **13** ἀπάγουσα P $V^{W}$   οὐχ'] οὐχι M   γῆν] γῆ M   οὐδὲ] οὐχ' M   **14** ἄρκος $M^{p.c.}$   ουκ'ωρίον M, οὐχοριον P, οὐχὁρίω $V^{W\ a.c.}$, οὐχὠρίων $V^{W\ p.c.}$   γεννόμενος P, γενόμενος M $V^{W}$   **15** οὐδὲ – ἀνάριθμος] *in mg.* $V^{W}$   **16** πύλη] αὐλὴ P $V^{W}$   **17** κολυον M, κωκύον $V^{W}$, κώκυον P   εὐβατον P   **18** αὕτη] *scripsi*, αύτη $V^{W}$, αὐτῆ M, αὐτη P   δικαίοις] *add.* τοῦ θεοῦ M   γεννήσεται M   στερρουμενη M   οὐδὲ] ουτε M   **19** ἰσχνοῦ *(*ϊ- P*)* P $V^{W}$   οὐρανοὺς $P^{a.c.}$   **21** αὐτοματι P, αὐτομάτη $V^{W}$   **22** ᾗ] ἥ P, ἣ *(spir. e corr.)* $V^{W}$, οῦ $M^{a.c.\ ut\ videtur}$, οὗς $M^{p.c.\ man.\ rec.}$   θηρίων] θηρῶν M   **24** παλιν ἄνθρωπος M   γέννα] γεννᾶ $M^{p.c.}$ $V^{W\ p.c.}$   τῶν] *scripsi*, μετὰ PM $V^{W}$

νει ἀνέκλειπτος, ἅμα δικαίοις ἀγγέλοις καὶ πνεύμασι θεοῦ τε καὶ τῷ τούτου λόγῳ· ὃς τῶν δικαίων χορὸς ἀνδρῶν τὲ καὶ γυναικῶν ἀγήρως καὶ ἄφθαρτος διαμένει ὑμνῶν τὸν ἐπὶ ταῦτα προαγόμενον θεὸν διὰ τῆς τοῦ ἐν βίῳ εὐτάκτου νομοθεσίας· σὺν οἷς καὶ πᾶσα ἡ κτίσις ἀδιάλειπτον ὕμνον ἀνοίσει, καὶ αὐτὴ ἐλευθερωθεῖσα ἀπὸ τῆς φθορᾶς εἰς ἀφθαρσίαν διαυγῆ τε καὶ καθαρῷ πνεύματι δεδοξασμένη. Οὐχ' ὑπ' ἀνάγκης δεσμοῦ συσχεθήσεται, ἀλλ' ἐλευθεριάζουσα ἑκούσιον τὸν ὕμνον ἅμα τοῖς ἐλευθερωθεῖσιν πάσης δουλείας, ἀγγέλοις τὲ καὶ πνεύμασι καὶ ἀνθρώποις, αἰνέσει τὸν πεποιηκότα. Τούτοις ἐὰν πεισθέντες, Ἕλληνες, καταλείψετε τὴν ματαιότητα τῆς ἐπιγείου καὶ χρηματεμπόρου σοφίας, καὶ μὴ περὶ λέξεις ῥημάτων ἀσχολούμενοι τὸν νοῦν εἰς πλάνην συνώσητε, ἀλλὰ τοῖς θεοπνεύστοις προφήταις καὶ θεολόγοις ἐξηγηταῖς ἐγχειρίσαντες τὰς ἀκοάς, θεῷ πιστεύσητε, ἔσεσθε καὶ τούτων κοινωνοί, καὶ τῶν μελλόντων τεύξεσθε ἀγαθῶν, ἀμέτρου τὲ οὐρανοῦ ἀνάβασιν καὶ τὴν ἐκεῖ βασιλείαν ὄψεσθε. Φανερώσει γὰρ θεός, ἃ νῦν σεσιώπηται, *ἃ οὔτε ὀφθαλμὸς εἶδεν*, οὔτε *οὖς ἤκουσεν*, οὔτε *ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ὅσα ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.*

---

**17 – 19** I Cor. 2, 9

---

**1** ἀγγέλοις] ἀγγελοις τε M **2** λόγου P $V^{W}$ ὃς] ὣς $M^{a. c.}$, ὣς ὁ $M^{p. c. man. rec.}$, ὃν $V^{W}$ χωρος M **3** ἀγηρῶς P, αγηρω M, ἄγηρος *(e corr.)* $V^{W}$ ἀφθάρτως $V^{W\ a. c.}$ ὑμνῶν] ὑμων $M^{a. c.}$, ὑμνων $M^{p. c.}$ **3 – 4** τὸν – θεὸν] τῶν επι παντων θεῶ *(*θεὸν *man. rec.)*· τὸν ἐπι ταυτα προσαγωμενον M **4** τῆς – βίῳ] του στυνυν βιου M νομοθεσια P σὺν οἷς] *in mg.* $V^{W}$ **7** Οὐχ' ὑπ'] οὐκυπ P δεσμω M ἀλλα P $V^{W\ a. c.}$ **9** ἀπασης M **10** πεποιηκότα – ἐὰν] πεποιηκότα τούτους. ἐὰν P $V^{W\ a. c.}$ *(post* πεποιηκότα *interpunx.* $V^{W}$*)* καταλειψεται M, καταληψέται *(sic)* P **11** χρηματεμπόρου] χρημάτων *(*-α- P*)* πόρου *(*πο- P*)* P $V^{W}$ **12** περὶ] περ $M^{a. c.}$ ἀσχολουμένην P πλανη $M^{a. c.}$, πλανην $M^{p. c.}$ **12 – 13** συνωθησητε M **13** προφήταις] προφηταις τε M θεολόγοις] θεολογοῖς M, θεοῦ λόγοις P $V^{W}$ **14** ἐγχειρησαντες P, ἐπιχειρησαντες M πιστευσεται M **15** τεξεσθαι $P^{a. c.}$, τευξεσθαι $P^{p. c.}$ ἄμετρον τε M **16** ὄψεσθε. Φανερώσει] ὄψεσθε φανερῶς. εἰ P $V^{W}$ **17** ἃ] *erasum in* $V^{W}$ *ut videtur* ἴδεν P, εἰδεν M **18** ὅσα] ἃ M